ΛΕΙΤΟΥΡΓΙΚΑ ΒΟΗΘΗΜΑΤΑ
ΓΙΑ ΤΗ ΣΥΜΜΕΤΟΧΗ ΤΩΝ ΠΙΣΤΩΝ
ΣΤΗ ΛΑΤΡΕΙΑ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

# ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ
# 8

## ΕΣΠΕΡΙΝΟΣ ΚΑΙ ΟΡΘΡΟΣ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ ΚΑΙ ΟΡΘΡΟΣ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

Ἐπιμελητής ὕλης:
Πρωτοπρεσβ. Κωνσταντῖνος Πλευράκης

ΕΚΔΟΣΙΣ
ΟΡΘΟΔΟΞΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ΙΔΡΥΜΑΤΟΣ
ΠΑΙΔΑΓΩΓΙΚΩΝ ΚΑΙ ΚΟΙΝΩΝΙΚΩΝ ΕΦΑΡΜΟΓΩΝ
ΤΗΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΚΑΣΣΑΝΔΡΕΙΑΣ
«Ο ΕΥΑΓΓΕΛΙΣΤΗΣ ΜΑΡΚΟΣ»
Τ.Θ. 60060 570 01
ΘΕΡΜΗ – ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΤΗΛ. 2310-462.744 ΚΙΝ 69 51 855 799
2020

**Τό λειτουργικό αὐτό βοήθημα**
Προσφέρεται γιά νά βοηθήση
τόν πιστό νά συγκεντρώση τήν προσοχή
του, νά κατανοήση τά ἱερά κείμενα τῶν
ὕμνων καί τῶν εὐχῶν καί νά προσ-
ευχηθῆ τήν ὥρα τῆς Θείας Λατρείας.

## ΤΟ ΤΥΠΙΚΟ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΔΥΟ ΕΟΡΤΩΝ

**Ἡ Ἀκολουθία πού ψάλλομε καί τίς δυό αὐτές μέρες, τήν Κυριακή τῆς Πεντηκοστῆς καί τή Δευτέρα τοῦ Ἁγίου Πνευματος, εἶναι ἡ ἴδια.**

**Ὁ Ἑσπερινός τῆς Δευτέρας** ὅμως, ὁ ὁποῖος ψάλλεται τήν Κυριακή τό πρωί στό τέλος τῆς Θείας Λειτουργίας, παρουσιάζει μιά ἐξαιρετική ἰδιαιτερότητα. Γιά τό λόγο αὐτό τόν ἐκδίδομε σέ ἰδιαίτερο τεῦχος.

**Ὁ Ὄρθρος τῆς Δευτέρας** ἐνῶ εἶναι κατά βάση ὁ ἴδιος μέ τόν Ὄρθρο τῆς Κυριακῆς τῆς Πεντηκοστῆς, ἔχει μερικές διαφορές ἀπό αὐτόν.

Παραθέτομε πλήρως ὁλόκληρη τήν Ἀκολουθία τῆς Κυριακῆς καί ἐπισημαίνομε, γιά τούς ψάλτες, τά ἐλάχιστα σημεῖα στά ὁποῖα

διαφοροποιεῖται ὁ Ὄρθρος τῆς Δευτέρας, Γία νά εἶναι συνεπεῖς μέ τό Τυπικό.

**Τή Δευτέρα στόν Ὄρθρο:**

-Δέν ἔχομε **Εὐαγγέλιο**.

-**Καταβασίες** ψάλλονται μόνο οἱ ἰαμβικές.

-**Στήν Θ' ὠδή**: ψάλλομε τήν Θ΄ ὠδή καί τῶν δύο κανόνων.

-**Στούς Αἴνους** ψάλλομε ἀπό τόν Ἑσπερινό τῆς Πεντηκοστῆς τά τρία στιχηρά τῆς Λιτῆς σέ τέσσερα καί Δόξα, τό δοξαστικό τῶν Ἀποστίχων «Γλῶσσαι ποτέ συνεχύθησαν. . .»

# ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Προοιμιακός. Εἰρηνικά.*

Κύριε, ἐκέκραξα πρός σέ,
εἰσάκουσόν μου·
Εἰσάκουσόν μου, Κύριε.

Κύριε, ἐκέκραξα πρός σέ,
εἰσάκουσόν μου·
πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου
ἐν τῷ κεκραγέναι με πρός σέ.
Εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου
ὡς θυμίαμα ἐνώπιόν σου,
ἔπαρσις τῶν χειρῶν μου
θυσία ἑσπερινή.
Εἰσάκουσόν μου, Κύριε.

## Στιχηρά ἰδιόμελα
## Ἰωάννου μοναχοῦ. Ἦχος α΄.

1.

*Ἐξάγαγε ἐκ φυλακῆς τήν ψυχήν μου
τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί Σου.*

Τό μέγα καί σεβάσμιον μυστήριον
τῆς Πεντηκοστῆς:
Ἡ ἐπιδημία τοῦ Πνεύματος
πού ἀνακαινίζει τόν κόσμο!

Πεντηκοστήν ἑορτάζομεν
καί Πνεύματος ἐπιδημίαν
καί προθεσμίαν ἐπαγγελίας
καί ἐλπίδος συμπλήρωσιν!

Καί τό **μυστήριον** ὅσον
**ὡς μέγα τε καί σεβάσμιον**!
Διό βοῶμεν Σοι·
Δημιουργέ τοῦ παντός, Κύριε, δόξα Σοι.

2.

*Ἐμέ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.*

Πεντηκοστήν ἑορτάζομεν ...

3.

*Ἐκ βαθέων ἐκέκραξά Σοι, Κύριε·*
*Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.*

Ἡ ὁλοκλήρωση καί συνέχιση
τοῦ ἔργου τοῦ Χριστοῦ.

Καινούριοι ἄνθρωποι, ἀνακαινισμένοι, οἱ Ἀπόστολοι, θά κηρύξουν τόν Νέο Ἀδάμ, τήν ἀνακαίνιση τοῦ κόσμου.

Ἡ γλωσσολαλιά ἦταν τό σύμβολο τῆς θεραπείας τῆς συγχύσεως τῶν γλωσσῶν τῆς Βαβέλ καί τῆς ἑνώσεως καλί συνενοήσεως στήν ὁποίαν προσκαλεῖ ὁ Θεός καί συγχρόνως ὑπόμνηση τοῦ χρέους νά κηρυχτῆ τό Εὐαγγέλιο σέ ὅλεςτίς γλῶσσες γιά νά τό ἀκούσουν ὅλοι οἱ ἄνθρωποι.

Γλώσσαις ἀλλογενῶν
**ἐκαινούργησας, Χριστέ,**
τούς Σούς Μαθητάς,
**ἵνα δι᾽ αὐτῶν Σέ κηρύξωσι,**
τόν ἀθάνατον Λόγον καί Θεόν,
τόν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν
τό μέγα ἔλεος.

4.

*Γενηθήτω τά ὦτά Σου προσέχοντα*
*εἰς τήν φωνήν τῆς δεήσεώς μου.*

Ὁ ρόλος τοῦ Ἁγίου Πνεύματος.

Ἡ μεγάλη δωρεά τοῦ Θεοῦ στόν ἄνθρωπο εἶναι τό Ἅγ. Πνεῦμα. Αὐτό παρέχει τό σύνολο τῶν χαρισμάτων μέσα στό χῶρο τῆς Ἐκκλησίας.

**Πάντα χορηγεῖ**
**τό Πνεῦμα τό ἅγιον·**
βρύει προφητείας,
ἱερέας τελειοῖ,
ἀγραμμάτους σοφίαν ἐδίδαξεν·
ἁλιεῖς θεολόγους ἀνέδειξεν·
**ὅλον συγκροτεῖ**
**τόν θεσμόν τῆς Ἐκκλησίας.**
Ὁμοούσιε καί ὁμόθρονε,
τῷ Πατρί καί τῷ Υἱῷ,
Παράκλητε, δόξα Σοι.

**Ἦχος β΄.**

5.

*Ἐάν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε,*
*τίς ὑποστήσεται; Ὅτι παρά Σοί ὁ ἱλασμός ἐστιν.*

Οἱ πιστοί διακηρύττουν καί ὁμολογοῦν τήν πίστη τους καί τήν μυστική ἐμπειρία τους. Νά τί ζήσαμε καί τί βρήκαμε μέσα στήν Ἐκκλησία! Τό ἀληθινό περιεχόμενο τῆς πίστεως εἶναι ἡ Ἁγία Τριάδα. Αὐτήν προσκυνοῦμε καί λατρεύομε!

Εἴδομεν τό φῶς τό ἀληθινόν,

ἐλάβομεν Πνεῦμα ἐπουράνιον,
εὕρομεν Πίστιν ἀληθῆ,
ἀδιαίρετον Τριάδα προσκυνοῦντες·
Αὕτη γάρ ἡμᾶς ἔσωσεν.

6.

*Ἕνεκεν τοῦ ὀνόματός Σου ὑπέμεινά Σε, Κύριε,*
*ὑπέμεινεν ἡ ψυχή μου εἰς τόν λόγον Σου.*
*ἤλπισεν ἡ ψυχή μου ἐπί τόν Κύριον.* 6

Εἴδομεν τό φῶς τό ἀληθινόν …

7.

*Ἀπό φυλακῆς πρωΐας μέχρι νυκτός·* 6ϐ
*ἀπό φυλακῆς πρωΐας*
*ἐλπισάτω Ἰσραήλ ἐπί τόν Κύριον.*

Ὁ ρόλος τοῦ Λόγου
στήν παλαιά καί τή νέα ἐποχή.
Ὁ Ἴδιος ὁμιλεῖ στήν Παλαιά .Διαθήκη
μέ τά στόματα τῶν Προφητῶν
καί στήν Καινή Διαθήκη
μέ τά στόματα τῶν Ἀποστόλων.

Ἐν τοῖς **Προφήταις**
ἀνήγγειλας ἡμῖν ὁδόν σωτηρίας
καί ἐν **Ἀποστόλοις**
ἔλαμψε, Σωτήρ ἡμῶν,
ἡ χάρις τοῦ Πνεύματός Σου!
Σύ εἶ Θεός πρῶτος, Σύ καί μετά ταῦτα
καί εἰς τούς αἰῶνας Σύ εἶ ὁ Θεός ἡμῶν.

8.

*Ὅτι παρά τῷ Κυρίῳ τό ἔλεος,* 7
*καί πολλή παρ᾽ Αὐτῷ λύτρωσις,*
*καί Αὐτός λυτρώσεται τόν Ἰσραήλ* 8

*ἐκ πασῶν τῶν ἀνομιῶν Αὐτοῦ.*

Μέσα στό Ναό Σου,
προσκυνοῦμε τή δύναμή Σου
«Ἰσχυρέ Σωτῆρα τοῦ κόσμου».
(Προσκυνηματικό Ἁγίων Τόπων.
Στίς αὐλές Σου ἤλθαμε καί Σέ προσκυνοῦμε,
Κύριε!)

Ἐν ταῖς αὐλαῖς Σου ὑμνήσω Σε
**τόν Σωτῆρα τοῦ κόσμου**
καί κλίνας γόνυ προσκυνήσω Σου
**τήν ἀήττητον δύναμιν·**
ἐν ἑσπέρᾳ καί πρωΐ
καί μεσημβρίᾳ
καί ἐν παντί καιρῷ
εὐλογήσω Σε, Κύριε.

9.

*Αἰνεῖτε τόν Κύριον, πάντα τά ἔθνη,*
*ἐπαινέσατε Αὐτόν, πάντες οἱ λαοί.*

Προσκυνοῦμε τήν ἁγία Τριάδα.
Ἡ ἑνιαία Θεότης.
Ἕνας Κύριος ὁ Θεός, ἐν τρισί Προσώποις.
(Προσκυνηματικό Ἁγίων Τόπων.
Στίς αὐλές Σου ἤλθαμε καί Σέ προσκυνοῦμε,
Κύριε!)

Ἐν ταῖς αὐλαῖς Σου, **Κύριε,**
οἱ πιστοί τό γόνυ τῆς ψυχῆς
καί τοῦ σώματος ὑποκλίναντες,
ἀνυμνοῦμεν Σε τόν **ἄναρχον Πατέρα**
καί τόν **συνάναρχον Υἱόν**
καί τό συναΐδιον καί **πανάγιον Πνεῦμα,**

τό φωτίζον καί ἁγιάζον τάς ψυχάς ἡμῶν.

10.

*Ὅτι ἐκραταιώθη τό ἔλεος Αὐτοῦ ἐφ᾽ ἡμᾶς* 2
*καί ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τόν αἰῶνα.*

Ἑνιαῖο κήρυγμα Προφητῶν,
Ἀποστόλων, Μαρτύρων:
Τριάς ἡ Ὁμοούσιος.

Τριάδα ὁμοούσιον ὑμνολογήσωμεν,
Πατέρα καί Υἱόν, σύν Ἁγίῳ Πνεύματι·
**οὕτω γάρ ἐκήρυξαν πάντες οἱ Προφῆται**
**καί Ἀπόστολοι μετά Μαρτύρων.**

**Δόξα. Καί νῦν.**
**Λέοντος Δεσπότου. Ἦχος πλ. δ΄.**
Τό μυστήριο τῆς Ἁγίας Τριάδος.

Δεῦτε Λαοί,
**τήν τρισυπόστατον Θεότητα**
**προσκυνήσωμεν,**
Υἱόν ἐν τῷ Πατρί σύν Ἁγίῳ Πνεύματι.
Πατήρ γάρ ἀχρόνως ἐγέννησεν Υἱόν
συναΐδιον καί σύνθρονον
καί Πνεῦμα ἅγιον ἦν ἐν τῷ Πατρί,
σύν Υἱῷ δοξαζόμενον·
Μία Δύναμις, Μία Οὐσία, Μία Θεότης,
Ἥν προσκυνοῦντες πάντες λέγομεν·
**Ἅγιος ὁ Θεός,**
ὁ τά πάντα δημιουργήσας δι᾽ Υἱοῦ,
συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος.
**Ἅγιος ἰσχυρός,**
δι᾽ Οὗ τόν Πατέρα ἐγνώκαμεν
καί τό Πνεῦμα τό Ἅγιον

ἐπεδήμησεν ἐν κόσμῳ.
**Ἅγιος ἀθάνατος,**
τό Παράκλητον Πνεῦμα,
τό ἐκ Πατρός ἐκπορευόμενον
καί ἐν Υἱῷ ἀναπαυόμενον.
Τριάς Ἁγία, δόξα Σοι.

*Εἴσοδος.*

## ΦΩΣ ΙΛΑΡΟΝ
### «Ἐπιλύχνιος Εὐχαριστία»

**Φῶς ἱλαρόν**
**ἁγίας δόξης ἀθανάτου Πατρός,**
**οὐρανίου, ἁγίου, μάκαρος,**
**Ἰησοῦ Χριστέ.**
Ἰησοῦ Χριστέ,
ἥμερο φῶς τῆς δόξας τοῦ Πατέρα,
τῆς θείας, τοῦ ἀθανάτου,
τοῦ μάκαρος, τοῦ Ἁγίου!
**Ἐλθόντες ἐπί τήν ἡλίου δύσιν**
**ἰδόντες φῶς ἑσπερινόν**
**ὑμνοῦμεν Πατέρα, Υἱόν**
**καί Ἅγιον Πνεῦμα Θεόν.**
Κοντά σου συναχτήκαμε
τοῦ δειλινοῦ τήν ὥρα
τοῦ ἥλιου βλέποντας τό φῶς,
πού πάει νά βασιλέψη.
Καί φωτισμένοι ἀπό Σέ
ὑμνοῦμε τό Θεό μας:

Πατέρα τόν ἀγέννητο,
Υἱό τόν γεννηθέντα
καί Πνεῦμα τό ἐκπορευτό,
τόν ἕνα Κύριό μας!

**Ἄξιόν σε ἐν πᾶσι καιροῖς**
**ὑμνεῖσθαι φωναῖς αἰσίαις,**
**Υἱέ Θεοῦ, ζωήν ὁ διδούς**
**διό ὁ κόσμος σέ δοξάζει.**

Ἀξίζει σου, Υἱέ Θεοῦ,
νά Σέ ὑμνοῦμε πάντα
μέ καθαρές καί ὅσιες φωνές
οἱ ἐκλεκτοί σου,
γιατί ζωή καί φῶς Ἐσύ,
Ἰησοῦ Χριστέ, χαρίζεις
γι' αὐτό κι ὁ κόσμος, Κύριε,
ὑμνεῖ Σε καί δοξάζει.

## Ἑσπέρας προκείμενον.

## Ἦχος πλ. β΄

**Ὁ Κύριος ἐβασίλευσεν,**
**εὐπρέπειαν ἐνεδύσατο.** Ψαλ. 92,1

*Ἐνεδύσατο ὁ Κύριος δύναμιν*
*καί περιεζώσατο.*
*Καί γάρ ἐστερέωσε τήν οἰκουμένην,*
*ἥτις οὐ σαλευθήσεται!*

# ΑΝΑΓΝΩΣΜΑΤΑ

## 1ον

## Ἀριθμῶν τό ἀνάγνωσμα
## 11,16-17, 24-29.

## Η ΔΙΑΠΟΙΜΑΝΣΗ ΤΟΥ ΛΑΟΥ ΤΟΥ ΘΕΟΥ. ΠΡΟΪΣΤΟΡΙΑ ΚΑΙ ΠΡΟΤΥΠΩΣΗ ΤΗΣ ΧΑΡΙΣΜΑΤΙΚΗΣ ΣΥΓΚΡΟΤΗΣΕΩΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΣΤΗ ΣΥΝΑΓΩΓΗ ΤΟΥ ΙΣΡΑΗΛ

**Τό Ἅγιο Πνεῦμα ἐγκαθιστᾶ στήν Ἐκκλησία χαρισματιά ὄργανα γιά τή τή διαποίμανση τοῦ Λαοῦ.**

**«Πάντα χορηγεῖ τό Πνεῦμα τό Ἅγιον! Ὅλον συγκροτεῖ τόν θεσμόν τῆς Ἐκκλησίας!»**

Ἡ συγκρότηση τοῦ Λαοῦ τοῦ Παλαιοῦ Ἰσραήλ σέ σῶμα γίνεται μέ χαρισματικά ὄργανα πού τά δίδει ὁ Θεός καί τά πλουτίζει, τά χρίει μέ τό Ἅγιο Πνεῦμα! Αὐτό εἶναι πού χρειάζεται! Εἶναι ἡ ἀπαραίτητη προυπόθεση γιά τή διακυβέρνηση καί καθοδήγηση τοῦ Λαοῦ!

Ὁ Θεός ζητᾶ ἀπό τό Μωϋσῆ νά ἐπιλέξῃ ἑβδομῆντα ἄνδρες, διακεκριμένα πρόσωπα τῆς Συναγωγῆς, στούς ὁποίους χαρίζει τό Πνεῦμα Του, γιά νά τόν βοηθοῦν στή διακυβέρνηση τοῦ Λαοῦ.

Ἡ ἀρχή καί θεμελίωση τοῦ πολιτεύματος τῆς Ἐκκλησίας.

Ἡ ἐκλογή καί ἀνάδειξη τῶν ἡγετικῶν προσώπων στά ὁποῖα ἀνατίθεται ἡ διαποίμανση τοῦ Λαοῦ εἶναι ἔργο τοῦ Θεοῦ! Αὐτός μεταβιβάζει τό δικαίωμα τῆς ἐκλογῆς ἱεραρχικά σέ ἄλλους. Ἡ ἀνάθεση ὅμως γίνεται ἄνωθεν! Ἡ πηγή τῆς ἐξουσίας εἶναι ὁ Θεός! Ὄχι ὁ λαός, ὅπως στά κοσμικά πολιτεύματα. Ἡ Ἱεραρχία καί τό πολίτευμα, ἡ Τάξη τῆς Ἐκκλησίας ἔχει θεία προέλευ, εἶναι θεῖος θεσμός!

Ἡ πλήρης ἑνότητα τοῦ βιβλικοῦ κειμένου ἀπό τήν ὁποία εἶναι ἀποσπασμένη ἡ περικοπή πού διαβάζεται ὡς πρῶτο ἀνάγνωσμα στόν Ἑσπερινό τῆς Πεντηκοστῆς (Ἀριθμ. 11,16-17, 24-29), εἶναι τά κεφάλαια 11 καί 12 τοῦ βιβλίου τῶν Ἀριθμῶν.

Ὁ Θεός ἀνταποκρίθηκε ἀρχικά στήν ἱστορική ἀνάγκη τῆς ἀπελευθερώσεως τοῦ λαοῦ Του, καί πῆρε τήν πρωτοβουλία τῆς Ἐξόδου τοῦ Ἰσραήλ, ἀπό τή δουλεία τῆς Αἰγύπτου. Ἀνέδειξε τό Μωϋσῆ ἡγέτη - ὁδηγό καί ἐλευθερωτή τοῦ Λαοῦ. Ἀργότερα πάλι, ὅταν προέκυψε νέα ἀνάγκη, νά βοηθηθῆ ὁ Μωϋσῆς στό ἡγετικό - διακονικό ἔργο του γι-

ά τήν ὀργάνωση καί διαποίμανση τοῦ Λαοῦ, ὁ Θεός ἀναδεικνύει καί ἄλλα πρόσωπα τά ὁποῖα ὁπλίζει μέ τήν ἴδια χάρη τοῦ Πνεύματός Του, μέ τήν ὁποίαν ὥπλισε καί τό Μωϋσῆ, καί θεσμοθετεῖ τήν εὐρύτερη ὀργάνωση τῆς ἡγεσίας γιά τή διακονία τῆς σωτηρίας καί ζωῆς τοῦ Λαοῦ Του.

Ὁ Μωϋσῆς ὅμως, ὡς προεικόνιση καί προτύπωση τοῦ Χριστοῦ, ὑπερέχει ἀσυγκρίτως τῶν ἄλλων προφητῶν - ἡγετικῶν διακόνων βοηθῶν του - στούς ὁποίους ὁ Θεός χαρίζει μερίδα ἀπό τή δωρεά τοῦ Πνεύματος πού εἶχε δώσει στόν ἴδιο. Ἡ ὑπεροχή αὐτή προκαλεῖ ἀντίδραση καί σκανδαλίζει τόν Ἀαρών καί τήν Μαριάμ, ἀδελφούς τοῦ Μωϋσῆ, οἱ ὁποῖοι ἐκδηλώνουν τή ζήλεια τους. Πρόκειται οὐσιαστικά γιά ἕνα σκανδαλισμό ὁ ὁποῖος ἐμφανίζεται συχνά καί στή ζωή τῆς Ἐκκλησίας ἀπό μέρους πολλῶν λαϊκῶν καί ἀποτελεῖ τό λίθο τοῦ προσκόμματος καί τήν πέτρα τοῦ σκανδάλου τοῦ Προτεσταντισμοῦ. «Μόνο στό Μωϋσῆ μίλησε ὁ Θεός; Δέν μίλησε καί σέ μᾶς;»

Ὁ Θεός ἐτιμώρησε τή Μαριάμ μέ λέπρα, ἀλλά ὁ Μωϋσῆς παρεκάλεσε τό Θεό καί τήν γιάτρεψε.

Τό χάρισμα τοῦ Μωϋσῆ εἶναι σύνθετο: ἡγετικό - ὁδηγητικό ἀλλά καί ἰαματικό.

Τό παράλληλο τοῦ ἀναγνώσματος αὐτοῦ ἀπό τό Δευτερονόμιο 1,6-18 διαβάζεται ὡς δεύτερο ἀνάγνωσμα στόν Ἑσπερινό τῆς Κυριακῆς τῶν Ἁγίων Πατέρων τῆς Ζ΄ Συνόδου.

16 **Εἶπε Κύριος πρός Μωϋσῆν·**
**Συνάγαγέ Μοι ἑβδομήκοντα ἄνδρας**
**ἀπό τῶν πρεσβυτέρων τοῦ λαοῦ,**
**οὕς σύ αὐτός οἶδας**
**ὅτι οὗτοι εἰσι πρεσβύτεροι τοῦ λαοῦ**
**καί γραμματεῖς αὐτῶν.**

Εἶπε ὁ Κύριος πρός τὸ Μωϋσῆ: «Συγκέντρωσέ μου ἑβδομήντα ἄντρες ἀπὸ τοὺς πρεσβυτέρους τοῦ λαοῦ, τοὺς ὁποίους ἐσύ γνωρίζεις ὅτι εἶναι ἐπίσημοι γέροντες τοῦ λαοῦ καί διδάσκαλοι τοῦ Νόμου.

**Καί ἄξεις αὐτούς**
**εἰς τήν σκηνήν τοῦ μαρτυρίου**
**καί στήσονται ἐκεῖ μετά σοῦ.**

Θά τούς ὁδηγήσῃς στὴ σκηνὴ τοῦ Μαρτυρίου καί θὰ σταθοῦν ἐκεῖ μαζί μέ σένα.

17 **Καί καταβήσομαι**
**καί λαλήσω ἐκεῖ μετά σοῦ**
**καί ἀφελῶ ἀπό τοῦ Πνεύματος**
**τοῦ ἐπί σοί**
**καί ἐπιθήσω ἐπ᾽ αὐτούς**

**καί συναντιλήψονται μετά σοῦ**
**τήν ὁρμήν τοῦ λαοῦ**
**καί οὐκ οἴσεις αὐτούς σύ μόνος.**

Ἐγὼ θὰ κατέβω καί θὰ συνομιλήσω μαζί σου καί θὰ πάρω ἀπὸ τὸ πνεῦμα ποὺ ἔχω δώσει σ' ἐσένα καὶ θὰ δώσω καί σ' αὐτούς, γιά νά σέ βοηθήσουν νά σηκώνετε μαζί τὸ βάρος τῆς ὁρμῆς τοῦ λαοῦ, γιὰ νὰ μὴν τὸ σηκώνεις μόνος σου.

24 **Καί συνήγαγε Μωϋσῆς**
**ἑβδομήκοντα ἄνδρας**
**ἀπό τῶν πρεσβυτέρων τοῦ λαοῦ**
**καί ἔστησεν αὐτούς**
**κύκλῳ τῆς σκηνῆς.**

Ὁ Μωϋσῆς συγκέντρωσε ἑβδομήντα ἄντρες ἀπὸ τοὺς ἐπίσημους γέροντες τοῦ λαοῦ καὶ τοὺς ἔβαλε νὰ σταθοῦν γύρω ἀπὸ τὴ σκηνή.

25 **Καί κατέβη Κύριος ἐν νεφέλῃ**
**καί ἐλάλησε πρός αὐτόν·**
**καί παρείλετο ἀπό τοῦ Πνεύματος**
**τοῦ ἐπ᾽ αὐτῷ**
**καί ἐπέθηκεν**
**ἐπί τούς ἑβδομήκοντα ἄνδρας**
**τούς πρεσβυτέρους.**

Τότε ὁ Κύριος κατέβηκε μέσα στὴ νεφέλη καὶ μίλησε στὸ Μωϋσῆ. Καί πῆρε ἀπὸ τὸ πνεῦμα ποὺ εἶχε δώσει σ' αὐτόν καὶ ἔδωσε καί στοὺς ἑβδομήντα πρεσβυτέρους.

**Ὡς δέ ἐπανεπαύσατο τό Πνεῦμα**
**ἐπ᾽ αὐτούς καί προεφήτευσαν**
**καί οὐκέτι προσέθεντο.**

Μόλις ἀναπαύθηκε τὸ Πνεῦμα ἐπάνω τους, αὐτοί προφήτευσαν ἀλλὰ μετά σταμάτησαν καί δὲν συνέχισαν.

26 **Καί κατελείφθησαν δύο ἄνδρες**
**ἐν τῇ παρεμβολῇ,**
**ὄνομα τῷ ἑνί Ἐλδάδ**
**καί ὄνομα τῷ δευτέρῳ Μωδάδ**
**καί ἐπανεπαύσατο ἐπ᾽ αὐτούς**
**τό Πνεῦμα·**
**καί οὗτοι ἦσαν τῶν καταγεγραμμένων**
**καί οὐκ ἦλθον εἰς τήν σκηνήν·**
**καί προεφήτευσαν**
**ἐν τῇ παρεμβολῇ.**

Δυὸ ὅμως ἀπὸ τοὺς πρεσβυτέρους εἶχαν μείνει στὸ στρατόπεδο. Τό ὄνομα τοῦ ἑνός ἦταν Ἐλδὰδ καὶ τό ὄνομα τοῦ δευτέρου Μωδάδ. Ἦρθε λοιπόν καὶ σ' αὐτούς τὸ Πνεῦμα γιατί κι αὐτοὶ ἦταν ἀπὸ ἐκείνους πού εἶχε γραμμένους ὁ Μωϋσῆς. Αὐτοί ὅμως δὲν εἶχαν πάει στὴ σκηνή, ἀλλά προεφήτευαν μέσα στὸ στρατόπεδο.

27 **Καί προσδραμών ὁ νεανίσκος**
**ἀπήγγειλε τῷ Μωσεῖ**
**καί εἶπεν αὐτῷ λέγων·**
**Ἐλδάδ καί Μωδάδ**
**προφητεύουσιν ἐν τῇ παρεμβολῇ.**

Ἔτρεξε τότε ἕνας νέος καὶ τὸ ἀνάγγειλε στὸ Μωϋσῆ: «Ὁ Ἐλδὰδ καὶ ὁ Μωδὰδ προφητεύουν στὸ στρατόπεδο!»

28 **Καί ἀποκριθείς Ἰησοῦς ὁ τοῦ Ναυῆ**
**ὁ παρεστηκώς Μωϋσῇ,**
**ὁ ἐκλεκτός αὐτοῦ, εἶπε·**
**Κύριε Μωσῆ, κώλυσον αὐτούς.**

Τότε ἀποκρίθηκε ὁ Ἰησοῦς, ὁ γιὸς τοῦ Ναυῆ, ὁ ἐκλεκτός τοῦ Μωϋσῆ, ποὺ βρισκόταν πάντα κοντά του, καὶ εἶπε: «Κύριέ μου, Μωϋσῆ, ἐμπόδισέ τους».

**Καί εἶπεν αὐτῷ Μωϋσῆς·**
29 **Μή ζηλοῖς σύ μοι;**
**καί τίς δῴη πάντα τόν λαόν Κυρίου προφήτας,**
**ὅταν δῷ Κύριος τό Πνεῦμα Αὐτοῦ ἐπ᾽ αὐτούς;**

Ἀλλὰ ὁ Μωϋσῆς τοῦ ἀπάντησε: «Ζηλεύεις ἐσὺ γιὰ λογαριασμό μου; Καί ποιός εἶναι ἐκεῖνος πού κάνει ὅλο τὸ λαὸ νὰ προφητεύη ὅταν ὁ Κύριος δίδει τὸ Πνεῦμα Του ἐπάνω σ' αὐτούς; (Δέν εἶναι ὁ Ἴδιος ὁ Θεός; Ἐγώ λοιπόν θά παρεμποδίσω τόν Κύριο;)»

{Ο μωυσῆς προετοιμάζει τήν προφητεία τοῦ Ἰωήλ!

## 2ον

## Η ΜΕΣΣΙΑΚΗ ΕΠΟΧΗ
## Η ΗΜΕΡΑ ΤΟΥ ΚΥΡΙΟΥ

### Η ΕΚΧΥΣΗ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ ΩΣ ΒΡΟΧΗ ΕΠΙ ΠΑΣΑΝ ΣΑΡΚΑ

**Αἷμα, φωτιά καί καπνός.**

**Κάθε ἄνθρωπος πού ἐπικαλεῖται τό ὄνομα τοῦ Θεοῦ σώζεται.**

**Τό «ἔλεος τοῦ Θεοῦ», εἶναι «ἡ ἡμέρα τοῦ Κυρίου», ἡ δωρεά τοῦ Θεοῦ, τό Ἅγιον Πνεῦμα καί προσφέρεται μέ τήν εναθρώπηση τοῦ Χριστοῦ καί τήν ἵδρυση τῆς Ἐκκλησίας, καλύπτει δέ ὅλες τίς ἀνάγκες τοῦ ἀνθρώπου.**

Τήν Πεντηκοστή ὁ Παράκλητος δόθηκε σέ λίγους, περίπου 120 πρόσωπα. Ἦταν ὁ πυρήνας τῆς Ἐκκλησίας, αὐτοί πού ἀποδέχτηκαν τήν κλήση τοῦ Θεοῦ διά τοῦ Χριστοῦ! Ἡ προσφορά ὅμως τοῦ Ἁγίου Πνεύματος δίδεται πρός ὅλους ὅσους ἀποδέχονται τήν κλήση μέ πίστη καί προσέρχονται στό Βάπτισμα ὅπου γίνεται ἡ προσωπική ὑπογραφή τῆς Καινῆς Διαθήκης!

Ὁ προφήτης Ἰωήλ προφητεύει 700 περίπου χρόνια νωρίτερα «τήν ἡμέραν τοῦ Κυρίου, τήν μεγάλην καί ἐπιφανῆ»

**κατά τήν ὁποία ὁ λαός θά διαπιστώση ὅτι ὁ Θεός κατεβαίνει καί κατοικεῖ ἀνάμεσα στό λαό Του· ὅτι ὁ Θεός χύνει τό Πνεῦμα Του στούς γιούς καί τίς θυγατέρες Του καί προφητεύουν.**

Ἡ ἐποχή τοῦ Μεσσίου, **ἡμέρα τοῦ Κυρίου**, ἡ «ἡμέρα τῆς Βασιλείας τῶν οὐρανῶν», ἄρχισε μέ τήν ἐνανθρώπηση τοῦ Χριστοῦ καί ὁλοκληρώθηκε μέ τήν πιφοίτηση τοῦ Παρακλήτου τήν ἡμέρα τῆς Πεντηκοστῆς, ὁπότε ἀκριβῶς ἐγκαινιάστηκε ἡ Ἐκκλησία καί εἰσέδυσε στή ζωή καί τήν ἱστορία τοῦ κόσμου «ὁ μελλοντικός αἰῶνας» πού οἱ θεολόγοι ὀνομάζουν «ἡμέρα τῆς Βασιλείας τῶν οὐρανῶν», μέ τήν ἔκχυση τῶν δωρεῶν τοῦ Θεοῦ.Ἔτσι ὁλοκληρώθηκε τό Μυστήριο τῆς Θείας Οἰκονομίας, τό μυστικό σχέδιο τοῦ Θεοῦ γιά τή σωτηρία τοῦ κόσμου!

«Ἐλθέτω ἡ Βασιλεία Σου» ζητοῦμε στή θεοδίδακτη προσευχή τοῦ «Πάτερ ἡμῶν.»

Σέ κάποια παραλλαγή τοῦ «Πάτερ ἡμῶν», τήν ὁποία διασώζουν μερικά ἀρχαῖα χειρόγραφα, γράφεται ἀντί τοῦ «Ἐλθέτω ἡ Βασιλεία Σου», «Ἐλθέτω Σου τό Πνεῦμα» καί τό γνωστό τροπάρι-

ο τῆς Ἀναλήψεως λέγει «Ἀνελθών εἰς οὐρανούς ... ἐλθέτω Σου τό Πνεῦμα».

Ἔτσι ἑρμήνευσε ὁ ἀπόστολος Πέτρος στούς ἔκπληκτους Ἰουδαίους τῶν Ἱεροσολύμων τό θαῦμα. **Ἡ προφητεία ἐπληρώθη τήν ἡμέρα τῆς Πεντηκοστῆς** μέ τήν κάθοδο τοῦ Ἁγίου Πνεύματος (Πράξ. 2,16-21). Δυστυχῶς ἡ περικοπή τῶν Πράξεων πού διαβάζεται τήν ἡμέρα τῆς Πεντηκοστῆς εἶναι ἐλλειπής! Θά ἔπρεπε νά περιλαμβάνη ὁλόκληρο τό κεφάλαιο 2 τῶν Πράξεων μέ τήν πραγματοποίηση τῆς προφητείας τοῦ Ἰωήλ, ὅπως ἐφαρμόζει ὁ Ἀπόστολος Πέτρος τήν ἑρμηνεία της στό θαῦμα τῆς καθόδου τοῦ Παρακλήτου.

Μιά παραπλήσια ἤ καί πληρέστερη ἑρμηνεία τῆς Προφητείας τοῦ Ἰωήλ ἔχομε στό Δοξαστικό τοῦ Ἀνατολίου στούς αἴνους τῆς Κυριακῆς μετά τήν Χριστοῦ Γέννησιν:

*«Αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ,*
*τέρατα γῆς, ἃ προεῖδεν Ἰωήλ!*
*Αἷμα τὴν Σάρκωσιν,*
*πῦρ τὴν Θεότητα,*
*ἀτμίδα δὲ καπνοῦ,*
*τὸ Πνεῦμα τὸ Ἅγιον,*
*τὸ ἐπελθὸν τῇ Παρθένῳ,*

*καὶ κόσμον εὐωδιάσαν!*
*Μέγα τὸ μυστήριον,*
*τῆς σῆς ἐνανθρωπήσεως,*
*Κύριε δόξα σοι!»*

Ἡ δωρεά τοῦ Ἁγίου Πνεύματος εἶναι τό οὐσιαστικό περιεχόμενο τῆς «Ἐπαγγελίας» τοῦ Θεοῦ. Ἡ μαρτυρία τῆς «Παρουσίας» τοῦ Θεοῦ ἀνάμεσαστό λαό Του, τό ὅτι κατοικεῖ ἀνάμεσα στο λαό! (στίχ 27)

## Προφητείας Ἰωήλ τό ἀνάγνωσμα 2,23 - 3,5.

2,23 **Τάδε λέγει Κύριος·**
Αὐτά λέγει ὁ Κύριος:
**τά τέκνα Σιών,**
**χαίρετε καί εὐφραίνεσθε**
**ἐπί Κυρίῳ τῷ Θεῷ ὑμῶν,**
Ἄνθρωποι τῆς Σιών, χαίρετε κι
εὐφραίνεσθε, γιὰ τὸν Κύριο τὸ Θεό σας,
**ὅτι ἔδωκεν ὑμῖν τά βρώματα**
**εἰς δικαιοσύνην**
**καί βρέξει ὑμῖν ὑετόν πρώϊμον καί ὄψιμον**
**καθώς ἔμπροσθεν.**
γιατί σας δίδει τροφές καί σωτηρία
καί βρέχει γιά χάρη σας πρώιμες καὶ
ὄψιμες βροχές ὅπως καὶ πρῶτα.
24 **Καί πλησθήσονται αἱ ἅλωνες σίτου**
**καί ὑπερεκχυθήσονται αἱ ληνοί**
**οἴνου καί ἐλαίου.**

Τ' ἁλώνια θά γεμίσουνε σιτάρι· καί τὰ πυθάρια θά ξεχειλίσουν κρασὶ καὶ λάδι.

25 **Καί ἀνταποδώσω ὑμῖν**
**ἀντί τῶν ἐτῶν ὧν κατέφαγεν ἡ ἀκρίς**
**καί ὁ βροῦχος καί ἡ ἐρυσίβη καί ἡ κάμπη**
**καί ἡ δύναμίς Μου ἡ μεγάλη,**
**ἥν ἐξαπέστειλα εἰς ὑμᾶς.**

Θά σᾶς ἀποζημιώσω γιά τά χρόνια ποὺ κατέφαγαν οἱ ἀκρίδες, οἱ κάμπιες, οἱ νύμφες κι οἱ νεαρὲς ἀκρίδες, καί ὁ πολύς στρατός ποὺ ἔστειλα ἐναντίον σας.

26 **Καί φάγεσθε ἐσθίοντες**
**καί ἐμπλησθήσεσθε**
**καί αἰνέσετε τό Ὄνομα Κυρίου**
**τοῦ Θεοῦ ὑμῶν,**
**Ὅς ἐποίησε μεθ᾽ ὑμῶν θαυμάσια**
**καί οὐ μή καταισχυνθῇ ὁ λαός Μου**
**εἰς τόν αἰῶνα.**

Καί τότε θὰ φᾶτε ὅσο θέλετε καὶ θὰ χορτάσετε και θὰ δοξάσετε τό ὄνομα Κυρίου τοῦ Θεοῦ σας, ὁ Ὁποῖος ἔκαμε γιὰ σᾶς τόσα θαύματα. Ποτὲ πιὰ δὲν πρόκειται νὰ καταφρονεθῇ ὁ λαός Μου.

Ὁ Θεός θά κατοικήση
ἀνάμεσα στούς ἀνθρώπου,
ὅπως ἦταν τότε στόν Παράδεισο.
Αὐτή τήν ἔννοια ἔχει ὁ Ναός.
Ὁ ρόλος τοῦ Παρακλητου εἶναι

νά μαρτρήση - φανερώση
τόν Υἱό καί τόν Πατέρα σέ κάθε πιστό.

27 **Καί ἐπιγνώσεσθε**
**ὅτι ἐν μέσῳ τοῦ Ἰσραήλ**
**Ἐγώ εἰμι**
**καί Ἐγώ Κύριος ὁ Θεός ὑμῶν**
**καί οὐκ ἔστιν ἔτι πλήν Ἐμοῦ·**

Θὰ καταλάβετε τότε πολύ καλά, ὅτι Ἐγὼ κατοικῶ ἀνάμεσα στὸ λαό τοῦ Ἰσραήλ, καὶ ὅτι Ἐγὼ εἶμαι ὁ Κύριος ὁ Θεός σας κι ἄλλος κανένας ἐκτός ἀπό Μένα δὲν ὑπάρχει.

**καί οὐ μή καταισχυνθῇ ἔτι ὁ λαός Μου**
**εἰς τόν αἰῶνα.**

Ποτὲ πιὰ ὁ λαός Μου δὲν πρόκειται νὰ καταφρονεθῆ.

Σαφής προαναγγελία τῆς δωρεᾶς,
«τῆς ἐκχύσεως τοῦ Ἁγίου Πνεύματος
ἐπί πᾶσαν σάρκα»

3,1 **Καί ἔσται μετά ταῦτα,**
**ἐκχεῶ ἀπό τοῦ Πνεύματός Μου**
**ἐπί πᾶσαν σάρκα**
**καί προφητεύσουσιν**
**οἱ υἱοί ὑμῶν καί αἱ θυγατέρες ὑμῶν·**

Ὕστερα ἀπό αὐτὰ θὰ χύσω ἀπό τὸ Πνεῦμα Μου πάνω σὲ κάθε ἄνθρωπο καί θά προφητεύσουν οἱ γιοὶ σας καί οἱ θυγατέρες σας·

**καί οἱ πρεσβύτεροι ὑμῶν**
**ἐνύπνια ἐνυπνιασθήσονται**

**καί οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται·**
οἱ ἐπίσημοι γέροντές σας θά ὀνειρευτοῦν ὁράματα, κι οἱ νεανίσκοι σας θά δοῦν ὀπτασίες,
2 **καί γε ἐπί τούς δούλους Μου**
**καί ἐπί τάς δούλας Μου**
**ἐν ταῖς ἡμέραις ἐκείναις**
**ἐκχεῶ ἀπό τοῦ Πνεύματός Μου**
**καί προφητεύσουσι.**
γιατί Ἐγώ πάνω στοὺς δούλους καί στὶς δοῦλες Μου τίς ἡμέρες ἐκεῖνες θὰ χύσω ἀπό τὸ Πνεῦμα Μου καί θά προφητεύσουν.
3 **Καί δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω**
**καί σημεῖα ἐπί τῆς γῆς κάτω,**
**αἷμα καί πῦρ καί ἀτμίδα καπνοῦ.**
Καὶ θὰ παρουσιάσω σημεῖα καί τέρατα ψηλά στόν οὐρανό καί κάτω στὴ γῆ αἷμα καί φωτιὰ καὶ σύννεφα καπνοῦ.
4 **Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος**
**καί ἡ σελήνη εἰς αἷμα**
**πρίν ἐλθεῖν τήν ἡμέραν Κυρίου**
**τήν μεγάλην καί ἐπιφανῆ.**
Ὁ ἥλιος θὰ μεταβληθῆ σὲ σκοτάδι καὶ τὸ φεγγάρι θὰ γίνη κόκκινο σὰν τὸ αἷμα, προτοῦ ἔρθη ἡ ἡμέρα τοῦ Κυρίου, ἡ μεγάλη καὶ φοβερή.
5 **Καί ἔσται, πᾶς ὅς ἄν ἐπικαλέσηται**
**τό ὄνομα Κυρίου, σωθήσεται.**
Καί τότε κάθε ἄνθρωπος, ποὺ θὰ ἐπικαλῆται τὸ ὄνομα τοῦ Κυρίου, θὰ σώζεται.

## 3$^{ον}$.

## ΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΔΙΑΘΗΚΗΣ - ΕΙΝΑΙ ΠΡΟΑΝΑΓΓΕΛΙΑ ΤΗΣ ΚΑΙΝΗΣ

Ὁ Ἰεζεκιήλ ὡς στόμα τοῦ Θεοῦ προαναγγέλλει τήν διά τοῦ Ἁγίου Πνεύματος σύναξη, πλύση, κάθαρση καί ἀνακαίνιση τῶν ἀνθρώπων στήν Ἐκκλησία. Θά τούς ραντίση μέ νερό καθαρό γιά νά τούς πλύνη ὅπως ἀκριβῶς πλένει τή γῆ μέ τή βροχή καί θά τούς δώση καινούρια καρδιά γεμάτη μέ Ἅγιο Πνεῦμα γιά νά τούς κάνη λαό Του.

Ἡ δωρεά τοῦ Θεοῦ γίνεται πιό συγκεκριμένη: λουτρό καθάρσεως καί ἀνακινισμοῦ! Τέτοιον θέλει ὁ Θεός τό Λαό Του στίχ 28.

Ἡ ἀνακαίνιση τοῦ κοσμου γίνεται ἥσυχα καί ἀθόρυβα μέ τήν ἀνακαίνιση τῆς καρδιᾶς ἑνός ἑκάστου ἀνθρώπου! Τό πρόσωπο τοῦ ἀνθρώπου εἶναι τό κύτταρο, ἡ μονάδα τῆς παγκόσμιας κοινωνίας.

Θά θεραπεύση τήν ὕβρη τῆς Βαβέλ μέ τή σύναξη τῆς Ἐκκλησίας ἐν Ἁγίῳ Πνεύματι.ἀλαζονεία τ

**Προφητείας Ἰεζεκιήλ**
**τό ἀνάγνωσμα 36,24-28.**

24 **Τάδε λέγει Κύριος·**

Αὐτά λέγει ὁ Κύριος:

***Λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν***
***καί ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν***
***καί εἰσάξω ὑμᾶς εἰς τήν γῆν ὑμῶν.***

Θά σᾶς πάρω μέσα ἀπὸ τὰ ἔθνη, θὰ σᾶς συνάξω μέσα ἀπ' ὅλες τίς ξένες χῶρες καὶ θὰ σᾶς εἰσαγάγω μέσα στὴ χώρα σας.

25 ***Καί ῥανῶ ἐφ᾽ ὑμᾶς ὕδωρ καθαρόν***
***καί καθαρισθήσεσθε***
***ἀπό πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν***
***καί ἀπό πάντων τῶν εἰδώλων ὑμῶν***
***καί καθαριῶ ὑμᾶς.***

Καί θά σᾶς ραντίσω μὲ νερὸ καθαρὸ καὶ θὰ ἐξαγνιστῆτε ἀπὸ ὅλες τίς ἀκαθαρσίες σας· καί θά σᾶς καθαρίσω ἀπό ὅλα τά εἴδωλά σας.

26 ***Καί δώσω ὑμῖν καρδίαν καινήν***
***καί πνεῦμα καινόν δώσω ὑμῖν.***
***Καί ἀφελῶ τήν καρδίαν τήν λιθίνην***
***ἐκ τῆς σαρκός ὑμῶν***
***καί δώσω ὑμῖν καρδίαν σαρκίνην.***

Καί θά σᾶς δώσω καινούρια καρδιὰ καὶ πνεῦμα καινούριο θὰ σᾶς δώσω. Θὰ ἀφαιρέσω τὴν καρδιὰ τήν πέτρινη ἀπὸ τὸ σῶμα σας καὶ θὰ σᾶς δώσω σάρκινη καρδιὰ.

Ὁ διπλός ρόλος τοῦ Ἁγίου Πνεύματος
στή ζωή τῶν πιστῶν.
Εἶναι φῶς καί ζωή, «Ἀλήθεια καί Χάρις»
ὁδηγεῖ καί ἐνισχύει!

Δείχνει τό τί πρέπει νά κάμωμε καί μᾶς
δυναμώνει νά τό ἐκτελέσωμε!
«Ἡ Θεία Χάρις Τά ἀσθενῆ θεραπεύει
καί τά ἐλλείποντα ἀναπληροῖ!»

27 **Καί τό πνεῦμά Μου δώσω ἐν ὑμῖν**
**καί ποιήσω**
**ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε**
**καί τά κρίματά Μου**
**φυλάξησθε καί ποιήσητε.**
Θὰ δώσω σέ σᾶς τὸ Πνεῦμα Μου
καὶ θὰ σᾶς κάνω ἔτσι, ὥστε ν'
ἀκολουθῆτε τίς ἐντολές Μου
καὶ νὰ φυλάγετε καί νά τηρῆτε τίς
ἀποφάσεις Μου.

28 **Καί κατοικήσετε ἐπί τῆς γῆς,**
**ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν**
**καί ἔσεσθέ Μοι εἰς λαόν**
**Κἀγώ ἔσομαι ὑμῖν εἰς Θεόν.**
Θὰ κατοικῆτε τότε στὴ χώρα ποὺ ἔδωσα
στοὺς πατέρες σας· καί θὰ εἶστε λαός
δικός Μου κι Ἐγὼ θὰ εἶμαι ὁ Θεός σας.

***Ἐκτενής-«Καταξίωσον Κύριε»***
***Πληρωτικά-Εὐχή κεφαλοκλισίας***

**Εἰς τήν Λιτήν**

*Ψάλλονται τά τρία στιχηρά ἰδιόμελα τοῦ*
*Ἑσπερινοῦ (7,8,9)*

Ἐν τοῖς **Προφήταις**
ἀνήγγειλας ἡμῖν ὁδόν σωτηρίας
καί ἐν **Ἀποστόλοις**

ἔλαμψε, Σωτήρ ἡμῶν,
ἡ χάρις τοῦ Πνεύματός Σου!
Σύ εἶ Θεός πρῶτος, Σύ καί μετά ταῦτα
καί εἰς τούς αἰῶνας Σύ εἶ ὁ Θεός ἡμῶν.

Ἐν ταῖς αὐλαῖς Σου ὑμνήσω Σε
**τόν Σωτῆρα τοῦ κόσμου**
καί κλίνας γόνυ προσκυνήσω Σου
**τήν ἀήττητον δύναμιν·**
ἐν ἑσπέρᾳ καί πρωΐ
καί μεσημβρίᾳ
καί ἐν παντί καιρῷ
εὐλογήσω Σε, Κύριε.

Ἐν ταῖς αὐλαῖς Σου, **Κύριε,**
οἱ πιστοί τό γόνυ τῆς ψυχῆς
καί τοῦ σώματος ὑποκλίναντες,
ἀνυμνοῦμεν Σε τόν **ἄναρχον Πατέρα**
καί τόν **συνάναρχον Υἱόν**
καί τό συναΐδιον
καί **πανάγιον Πνεῦμα,**
τό φωτίζον
καί ἁγιάζον τάς ψυχάς ἡμῶν.

**Δόξα. Καί νῦν. Ἦχος πλ. δ΄.**

Ὅτε τὸ Πνεῦμά Σου
κατέπεμψας Κύριε,
καθημένοις τοῖς Ἀποστόλοις,
τότε οἱ τῶν Ἑβραίων παῖδες θεωροῦντες,
ἐξίσταντο θάμβει!
Ἤκουον γὰρ αὐτῶν φθεγγομένων,

ἑτέραις ξέναις γλώσσαις,
καθὼς τὸ Πνεῦμα ἐχορήγει αὐτοῖς!
Ἰδιῶται γὰρ ὄντες, ἐσοφίσθησαν
καί τὰ ἔθνη πρὸς πίστιν ζωγρήσαντες,
τὰ θεῖα ἐῤῥητόρευον!
Διὸ καί ἡμεῖς βοῶμέν Σοι.
Ὁ ἐπί γῆς ὀφθείς,
καί ἐκ τῆς πλάνης σώσας ἡμᾶς,
Κύριε, δόξα Σοι.

## Ἀπόστιχα
## Κοσμᾶ μοναχοῦ. Ἦχος πλ. β΄.

Ἀγνοοῦντα τά ἔθνη, Κύριε,
τήν τοῦ Παναγίου Πνεύματος
ἐν τοῖς Ἀποστόλοις Σου
γενομένην δύναμιν,
τήν ἐναλλαγήν τῶν γλωσσῶν
μέθην εἶναι ἐνόμιζον·
ἡμεῖς δέ στηριχθέντες ὑπ᾽ αὐτῶν
ἀπαύστως οὕτω λέγομεν.
**Τό Πνεῦμα Σου τό Ἅγιον**
**μή ἀντανέλῃς ἀφ᾽ ἡμῶν**
δεόμεθα, Φιλάνθρωπε.

*Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός*
*καί Πνεῦμα εὐθές*
*ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.*

Κύριε,
**τοῦ Ἁγίου Πνεύματος ἡ ἐπιφοίτησις**
τούς Ἀποστόλους Σου ἐμφορήσασα
**ἐν ἑτέραις γλώσσαις**

**λαλεῖν παρεσκεύασεν!**
Ὅθεν τό παράδοξον
τοῖς μέν ἀπίστοις μέθη ἐνομίζετο,
τοῖς δέ πιστοῖς πρόξενον σωτηρίας!
Οὗ τῆς ἐλλάμψεως
καί ἡμᾶς ἀξίωσον,
δεόμεθα, Φιλάνθρωπε.

*Μή ἀποῤῥίψῃς με ἀπό τοῦ προσώπου Σου.*
*καί τό Πνεῦμά Σου τό ἅγιον*
*μή ἀντανέλλῃς ἀπ᾽ ἐμοῦ.*

**Βασιλεῦ οὐράνιε, Παράκλητε,**
τό Πνεῦμα τῆς ἀληθείας,
ὁ πανταχοῦ παρών
καί τά πάντα πληρῶν,
ὁ θησαυρός τῶν ἀγαθῶν
καί ζωῆς χορηγός,
**ἐλθέ καί σκήνωσον ἐν ἡμῖν**
**καί καθάρισον ἡμᾶς**
**ἀπό πάσης κηλῖδος**
καί σῶσον, Ἀγαθέ, τάς ψυχάς ἡμῶν.

**Δόξα. Καί νῦν.**
**Λέοντος Δεσπότου. Ἦχος πλ. δ΄.**

Ἡ σημασία τῆς ἐπιφοιτήσεως-ἐκχύσεως
τοῦ Ἁγίου Πνεύματος τήν Πεντηκοστή
στήν ἱστορία τῆς θείας Οἰκονομίας.
Γιατί ὅμως ὁ κόσμος δέν εἰρήνεψε, ὡς τώρα;
Ἡ εὐθύνη τῶν χριστιανῶν εἶναι τεράστια, γιατί
δέν μετέδωκαν, μέ τήν ἱεραποστολή, τή δωρεά
τοῦ Θεοῦ, γιά τήν εἰρήνευση τοῦ κόσμου.

**Γλῶσσαι ποτέ συνεχύθησαν**
**διά τήν τόλμαν τῆς πυργοποιΐας·**
**γλῶσσαι δέ νῦν ἐσοφίσθησαν**
διά τήν δόξαν τῆς θεογνωσίας.
Ἐκεῖ κατεδίκασε Θεός
τούς ἀσεβεῖς τῷ πταίσματι·
ἐνταῦθα ἐφώτισε Χριστός
τούς ἁλιεῖς τῷ Πνεύματι.
Τότε κατειργάσθη ἡ ἀφωνία
πρός τιμωρίαν·
**ἄρτι καινουργεῖται ἡ συμφωνία,**
πρός σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

***«Νῦν ἀπολύεις...»* - *Τρισάγιον.***

### Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Εὐλογητός εἶ,
Χριστέ, ὁ Θεός ἡμῶν,
ὁ πανσόφους
τούς ἁλιεῖς ἀναδείξας
καταπέμψας αὐτοῖς
τό Πνεῦμα τό Ἅγιον
καί δι' αὐτῶν
τήν οἰκουμένην σαγηνεύσας,
Φιλάνθρωπε, δόξα Σοι. (Ἐκ γ΄)

### Ἀπόλυσις

*Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν*
*οὐρανόθεν καταπέμψας*
*τό Πανάγιον Πνεῦμα*
*ἐπί τούς ἁγίους Αὐτοῦ Μαθητάς*
*καί Ἀποστόλους,*

Χριστός ὁ ἀληθινός Θεός ἡμῶν ...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Ἔναρξη. Ἑξάψαλμος. Εἰρηνικά.*
*«Θεός Κύριος». Ἀπολυτίκιο (γ΄)*

**Καθίσματα.**
**Μετά τήν α΄ στιχολογίαν.**
**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Τήν μεθέορτον, πιστοί
καί τελευταίαν ἑορτήν
ἑορτάσωμεν φαιδρῶς·
αὕτη ἐστί Πεντηκοστή,
ἐπαγγελίας συμπλήρωσις
καί προθεσμίας·
ἐν ταύτῃ γάρ τό πῦρ
τοῦ Παρακλήτου εὐθύς,
κατέβη ἐπί γῆς, ὥσπερ ἐν εἴδει γλωσσῶν
καί Μαθητάς ἐφώτισε καί τούτους
οὐρανομύστας ἀνέδειξε.
Τό φῶς ἐπέστη, τοῦ Παρακλήτου
καί τόν κόσμον, ἐφώτισε.

Δόξα. Καί νῦν. Τό αὐτό.

**Μετά τήν β΄ στιχολογίαν. Ὅμοιον.**

Ἡ τοῦ Πνεύματος πηγή
ἐπιδημοῦσα τοῖς ἐν γῇ,
εἰς πυρφόρους ποταμούς
μεριζομένη νοητῶς,

τούς Ἀποστόλους ἐδρόσιζε
φωταγωγοῦσα·
καί γέγονεν αὐτοῖς
νέφος δροσῶδες τό πῦρ,
φωτίζουσα αὐτούς καί ὑετίζουσα φλόξ,
δι᾽ ὧν ἡμεῖς ἐλάβομεν τήν χάριν
διά πυρός τε καί ὕδατος.
Τό φῶς ἐπέστη τοῦ Παρακλήτου
καί τόν κόσμον ἐφώτισε.

Δόξα. Καί νῦν. Τό αὐτό.

**Μετά τόν πολυέλεον.**
**Ἦχος πλ. δ΄. Τό προσταχθέν.**

Μετά τήν ἔγερσιν,
Χριστέ, τήν ἐκ τοῦ τάφου
καί τήν πρός ὕψος
οὐρανοῦ θείαν Ἀνάληψιν,
τοῖς θεόπταις τήν δόξαν Σου
κατέπεμψας Οἰκτίρμον,
Πνεῦμα εὐθές
ἐγκαινίσας τοῖς Μαθηταῖς·
ὅθεν, ὥσπερ κιθάρα μουσουργική,
πᾶσιν ἐτρανολόγησαν
τῷ θείῳ πλήκτρῳ μυστικῶς,
Σῶτερ, τά ἀπηχήματα
καί τήν οἰκονομίαν Σου.

Δόξα. Καί νῦν. Τό αὐτό.

**Ἡ τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου.**

{Τή Δευτέρα
δέν ἔχομε Εὐαγγέλιο στόν Ὄρθρο}

Ἐκ νεότητός μου
πολλά πολεμεῖ με πάθη
ἀλλ᾽ αὐτός ἀντιλαβοῦ
καί σῶσον, Σωτήρ μου.

Οἱ μισοῦντες Σιών,
αἰσχύνθητε ἀπό τοῦ Κυρίου
ὡς χόρτος γάρ πυρί ἔσεσθε
ἀπεξηραμμένοι.

Δόξα. Καί νῦν.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχή ζωοῦται
καί καθάρσει ὑψοῦται, λαμπρύνεται
τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Προκείμενον. Ἦχος δ΄. Ψαλμ. 142.

Τό Πνεῦμα Σου τό ἀγαθόν 10β
ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

*Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου,*
*ἐνώτισαι τήν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου.*

**ΕΥΑΓΓΕΛΙΟΝ** (Τό Θ΄ Ἑωθινόν)
**Ἐκ τοῦ κατά Ἰωάννην 20,19-31.**

ΤΗ ΔΩΡΕΑ ΤΟΥ ΑΝΑΣΤΑΝΤΟΣ ΚΥΡΙΟΥ
ΠΡΟΣ ΤΗΝ ΕΚΚΛΗΣΙΑ

Τό βράδυ τῆς πρώτης ἡμέρας τῆς Ἀναστάσεως ὁ Χριστός ἐμφανίζεται στούς συναγμένους στό ἀνώγειο μαθητές Του, τούς χαρίζει τήν Εἰρήνη Του καί τούς ἀποστέλλει στόν κόσμο, ὁπλίζοντάς τους μέ

τό Πνεῦμα τό Ἅγιον πού τούς παρέχει τήν ἐξουσία **τῆς ἀφέσεως τῶν ἁμαρτιῶν**. Ἡ Πεντηκοστή εἶναι ἡ ἑορτή τῆς ἀφέσεως. Ἡ οὐσία τῆς Καινῆς Διαθήκης εἶναι ἡ δωρεά τῆς Χάριτος σέ ἀντίθεση μέ τήν Παλαιά τῆς ὁποίας οὐσία εἶναι ὁ Νόμος καί ἡ κατάρα. «Ἡ ἔννοια τοῦ Ἰωβηλαίου». Ἡ καταξίωση τῆς μετανοίας. Ἡ ἀπάντηση τοῦ Θεοῦ στήν κραυγή τοῦ ἀνθρώπου πού ζητᾶ ἔλεος (Ψαλμός Ν΄) ὡς μόνη διέξοδο καί καταφυγή γιά τή σωτηρία του.

Εἰρήνη, Ἀποστολή, ἄφεση.

Ἡ δωρεά τοῦ Χριστοῦ κατά τήν Ἀνάστασή Του καί κατά τήν Πεντηκοστή ταυτίζεται. Τό δῶρο τῆς ἀναστάσεως τοῦ Χριστοῦ στούς ἀνθρώπους εἶναι τό Ἅγιο Πνεῦμα, ἄφεση τῶν ἁμαρτιῶν! Γι' αὐτό σταυρώθηκε! «Πάτερ, ἄφες αὐτοῖς! Οὐ γάρ οἴδασι τί ποιοῦσι!» Πάνω ἀπό τό Σταυρό πῆ πού συγχωρεῖ τίς ἁμαρτίαις.

Τό Ἅγιο Πνεῦμα δίδεται στούς Ἀποστόλους ἐφόδιο γιά τό ἔργο τους, νά συγχωροῦν, νά βαφτίζουν, νά κηρύτουν, νά ἱερουργοῦν τό Εὐαγγέλιο καί τή ζωή τοῦ Χριστοῦ!

19 **Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ,**
**τῇ μιᾷ τῶν Σαββάτων**
**καί τῶν θυρῶν κεκλεισμένων,**
**ὅπου ἦσαν οἱ μαθηταί συνηγμένοι**
**διά τόν φόβον τῶν Ἰουδαίων,**

**ἦλθεν ὁ Ἰησοῦς καί ἔστη εἰς τό μέσον**
**καί λέγει αὐτοῖς· εἰρήνη ὑμῖν.**

Τήν ἴδια ἐκείνη ἡμέρα, δηλαδή τήν πρώτη μέρα μετά τό Σάββατο, ὅταν βράδιασε κι ἐνῶ οἱ πόρτες ἦταν κλειστές ἐκεῖ πού ἦταν συγκεντρωμένοι οἱ μαθητές λόγῳ τοῦ φόβου γιά τούς Ἰουδαίους ἦρθε ὁ Ἰησοῦς, στάθηκε στή μέση καί τούς λέει: Εἰρήνη σ᾽ ἐσᾶς.

20 **Καί τοῦτο εἰπών**
**ἔδειξεν αὐτοῖς τάς χεῖρας**
**καί τήν πλευράν αὐτοῦ.**
**Ἐχάρησαν οὖν οἱ μαθηταί**
**ἰδόντες τόν Κύριον.**

Κι ὅταν τό εἶπε αὐτό, τούς ἔδειξε τά χέρια καί τήν πλευρά Του. Τότε οἱ μαθητές χάρηκαν πού εἶδαν τόν Κύριο.

21 **Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν·**
**εἰρήνη ὑμῖν.**
**Καθώς ἀπέσταλκέ με ὁ Πατήρ,**
**κἀγώ πέμπω ὑμᾶς.**

Ὁ Ἰησοῦς τούς εἶπε λοιπόν πάλι: Εἰρήνη σ᾽ ἐσᾶς. Ὅπως ὁ Πατέρας ἔστειλε Ἐμένα, ἔτσι στέλνω κι Ἐγώ ἐσᾶς.

22 **Καί τοῦτο εἰπών**
**ἐνεφύσησε καί λέγει αὐτοῖς·**
**Λάβετε Πνεῦμα Ἅγιον.**

Ἔπειτα ἀπό τά λόγια αὐτά, φύσηξε στά πρόσωπά τους καί τούς λέει: Λάβετε Ἅγιο Πνεῦμα.

23 **Ἄν τινων ἀφῆτε τάς ἁμαρτίας,**
**ἀφίενται αὐτοῖς.**
**Ἄν τινων κρατῆτε, κεκράτηνται.**

Σέ ὅποιους συγχωρεῖτε τίς ἁμαρτίες, θά τούς εἶναι συγχωρημένες, σέ ὅποιους τίς κρατᾶτε ἀσυγχώρητες, θά μένουν ἀσυγχώρητες.

**Δόξα Σοι, Κύριε, δόξα Σοι.**

Καί ἀμέσως ( χωρίς νά λεχθῆ
τό «Ἀνάστασιν Χριστοῦ θεασάμενοι»)
ὁ **Ν' Ψαλμός.** (Χῦμα)

**Ἐλέησόν με, ὁ Θεός,**
3 **κατά τό μέγα ἔλεός Σου**
**καί κατά τό πλῆθος**
**τῶν οἰκτιρμῶν Σου**
**ἐξάλειψον τό ἀνόμημά μου.**

Ἐλέησέ με, Κύριε,
τό μέγα ἔλεός σου!
Καί ἡ μεγάλη ἀγάπη Σου
τό κρίμα μου νά σβήση!

4 **Ἐπί πλεῖον πλῦνόν με**
**ἀπό τῆς ἀνομίας μου**
**καί ἀπό τῆς ἁμαρτίας μου**
**καθάρισόν με.**

Πλῦνε τήν ἀνομία μου
νά ἐξαλειφθῆ τελείως!
Ἀπό τήν ἁμαρτία μου
καλά καθάρισέ με!

5 **Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω**
**καί ἡ ἁμαρτία μου**
**ἐνώπιόν μου ἐστι διά παντός.**
Γιατί γνωρίζω το καλά,
τό κρῖμαποὔχω κάμει.
Τήν ἁμαρτία μου ἐγώ
μπροστά μου βλέπω πάντα.
6 **Σοί μόνῳ ἥμαρτον**
**καί τό πονηρόν ἐνώπιον Σου ἐποίησα,**
**ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου**
**καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.**
Ἐσέ τόν ἴδιο, Κύριε,
ἀθέτησα, Θεέ μου,
ἐνώπιόν Σου ἔπραξα
τά πονηρά μου ἔργα.
Τό δίκηο εἶναι πάντα
μέ τά λόγια Σου
Καί βγαίνεις πάντα νικητής,
ὅταν Σέ κρίνουν!
7 **Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην**
**καί ἐν ἁμαρτίαις**
**ἐκίσσησέ με ἡ μήτηρ μου.**
Τό βλέπεις!
Μέσ' στήν ἀνομία συνελήφτηκα!
Ἡ μητέρα μου μέ γέννησε
μέσα στήν ἁμαρτία.
8 **Ἰδού γάρ ἀλήθειαν ἠγάπησας,**
**τά ἄδηλα καί τά κρύφια**
**τῆς σοφίας Σου ἐδήλωσάς μοι.**

Ἐνῶ Σύ Κύριε,
τήν Ἀλήθεια ἀγαπᾶς
καί τά σοφά Σου μυστικά
σέ μένα φανερώνεις.

9 **Ραντιεῖς με ὑσσώπῳ**
**καί καθαρισθήσομαι,**
**πλυνεῖς με**
**καί ὑπέρ χιόνα λευκανθήσομαι.**

Θά μέ ραντίσῃς μ᾽ ὕσσωπο
καί θά μέ καθαρίσῃς
καί θά μέ πλύνῃς νά γενῶ
πιό ἄσπρος ἀπ᾽ τό χιόνι!

10 **Ἀκουτιεῖς μοι**
**ἀγαλλίασιν καί εὐφροσύνην,**
**ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.**

Χαρά καί ἀγαλλίαση
τ᾽ αὐτιά μου θά γεμίσῃς,
τά συντριμμένα μου ὀστᾶ
θά κάμῃς νά σκιρτοῦνε.

11 **Ἀπόστρεψον τό πρόσωπόν Σου**
**ἀπό τῶν ἁμαρτιῶν μου**
**καί πάσας τάς ἀνομίας μου ἐξάλειψον.**

Ἀπό τίς ἁμαρτίες μου
τό πρόσωπό Σου στρέψε,
ὅλες τίς ἀνομίες μου
ἐξάλειψε, Θεέ μου.

12 **Καρδίαν καθαράν**
**κτίσον ἐν ἐμοί, ὁ Θεός,**

**καί πνεῦμα εὐθές ἐγκαίνισον**
**ἐν τοῖς ἐγκάτοις μου.**

Καρδιά καινούρια καθαρή
χτίσε στά ἔγκατά μου,
θρόνιασε πνεῦμα ἅγιο
στά βάθη τῆς ψυχῆς μου.

13 **Μή ἀπορρίψῃς με**
**ἀπό τοῦ προσώπου Σου**
**καί τό Πνεῦμα Σου τό ἅγιον**
**μή ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.**

Μή μ᾽ ἀπορρίψης μακρυά
ἀπό τό πρόσωπό Σου,
τό Πνεῦμα Σου τό Ἅγιο
μή μοῦ τό ἀφαιρέσης.

14 **Ἀπόδος μοι**
**τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου**
**καί πνεύματι ἡγεμονικῷ στήριξόν με.**

Δός μου τήν ἀγαλλίαση
πού φέρνει ἡ σωτηρία!
Τό πνεῦμα Σου νά μ᾽ ὁδηγῆ,
πάντα νά μέ στηρίζη.

15 **Διδάξω ἀνόμους τάς ὁδούς Σου**
**καί ἀσεβεῖς ἐπί Σέ ἐπιστρέψουσιν.**

Καί ὑπόσχομαι τούς ἄνομους
στούς δρόμους Σου νά φέρω,
νά ἐπιστρέψουν ἀσεβεῖς
σέ Σέ μετανιωμένοι.

16 **Ῥῦσαι με ἐξ αἱμάτων, ὁ Θεός,**
**ὁ Θεός τῆς σωτηρίας μου·**

**ἀγαλλιάσεται ἡ γλῶσσα μου**
**τήν δικαιοσύνην Σου.**
Ἀπό τό αἷμα π' ἔχυσα,
Σωτῆρα, γλύτωσέ με
κι ἡ γλῶσσα μου χαρούμενη
θα ὑμνῆ τό ἔλεός Σου!

17 **Κύριε, τά χείλη μου ἀνοίξεις**
**καί τό στόμα μου ἀναγγελεῖ**
**τήν αἴνεσίν Σου.**
Ἄνοιξε Σύ τά χείλη μου,
Κύριε καί Θεέ μου,
Κι ἡ γλῶσσα μου θά διαλαλῆ
τή δόξα Σου στόν κόσμο.

18 **Ὅτι εἰ ἠθέλησας θυσίαν,**
**ἔδωκα ἄν·**
**ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.**
Ἄν ἤθελες θυσίες,
θά Σοῦ ἐπρόσφερα,
μά τά ὁλοκαυτώματα
δέ Σέ εὐχαριστοῦνε.

19 **Θυσία τῷ Θεῷ**
**πνεῦμα συντετριμμένον·**
**Καρδίαν συντετριμμένην**
**καί τεταπεινωμένην**
**ὁ Θεός οὐκ ἐξουδενώσει.**
Θυσία εἶναι στό Θεό
ἡ ταπεινοφροσύνη!
Καρδιά πού ταπεινώνεται
δέν τήν ἐξουθενώνει.

20 **Ἀγάθυνον, Κύριε,**
**ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών**
**καί οἰκοδομηθήτω**
**τά τείχη Ἱερουσαλήμ.**

Δέξου νά κάνης τό καλό
γιά τή Σιών, Θεέ μου,
τά γκρεμισμένα τείχη της
νά ξαναϋψωθοῦνε.

21 Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφοράν καί ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν
ἐπί τό θυσιαστήριόν Σου μόσχους.

Τότε θά εὐχαριστηθῆς
θυσίες σωτηρίας,
τότε θά δῇς τίς προσφορές,
τά ὁλοκαυτώματά μας!
Τότε πού θ' ἀνεβάσωμε
μοσχάρια στό βωμό Σου.

*Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι*

Ταῖς τῶν Ἀποστόλων
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τά πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

*Καί νῦν καί ἀεί*
*καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,

ἐξάλειψον τά πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

### Ἦχος πλ. β΄.

*Ἐλεῆμον ἐλέησον με, ὁ Θεός,*
*κατά τό μέγα ἔλεός σου*
*καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου*
*ἐξάλειψον τό ἀνόμημά μου.*

Βασιλεῦ οὐράνιε, **Παράκλητε,**
τό Πνεῦμα τῆς ἀληθείας,
ὁ πανταχοῦ παρών
καί τά πάντα πληρῶν,
ὁ θησαυρός τῶν ἀγαθῶν
καί ζωῆς χορηγός,
**ἐλθέ καί σκήνωσον ἐν ἡμῖν**
**καί καθάρισον ἡμᾶς**
**ἀπό πάσης κηλῖδος**
καί σῶσον, Ἀγαθέ, τάς ψυχάς ἡμῶν.

## ΣΩΣΟΝ Ο ΘΕΟΣ

Ἡ ἱκετευτική προσευχή τῆς Ἐκκλησίας συνεχίζεται μέ ἐπιμονή πρός τόν ἴδιο στόχο καί διευρύνεται τώρα ἐπικαλούμενη σέ ἐνίσχυση τίς πρεσβεῖες ὅλων τῶν ἁγίων.

*Σῶσον, ὁ Θεός, τόν λαόν σου*
*καί εὐλόγησον τήν κληρονομίαν σου·*
*ἐπίσκεψαι τόν κόσμον σου*
*ἐν ἐλέει καί οἰκτιρμοῖς·*
*ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων*

*καί κατάπεμψον ἐφ᾽ ἡμᾶς*
*τά ἐλέη σου τά πλούσια·*
– *πρεσβείαις τῆς παναχράντου*
*Δεσποίνης ἡμῶν* ***Θεοτόκου***
*καί ἀειπαρθένου Μαρίας·*
– *δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ*
*Σταυροῦ·*
– *προστασίαις τῶν τιμίων*
*ἐπουρανίων Δυνάμεων* ***Ἀσωμάτων***·
– *ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου,*
*προφήτου* ***Προδρόμου***
*καί Βαπτιστοῦ Ἰωάννου·*
– *τῶν ἁγίων ἐνδόξων πανευφήμων*
– *τῶν ἁγίων καί δικαίων* ***Θεοπατόρων***
*Ἰωακείμ καί Ἄννης,*
– *(τοῦ ἁγίου τοῦ ναοῦ),*
– *(τοῦ ἁγίου τῆς ἡμέρας)*
*οὗ τήν μνήμην ἐπιτελοῦμεν*
– ***καί πάντων Σου τῶν ἁγίων,***

*Ἱκετεύομέν σε, μόνε, πολυέλεε Κύριε,*
*ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν*
*δεομένων σου καί ἐλέησον ἡμᾶς.*

**Κύριε, ἐλέησον, Κύριε, ἐλέησον,**
**Κύριε ἐλέησον.**

Ψάλλεται ἐναλλάξ, τετράκις ὑπό τῶν δύο χορῶν.

## Εὐχή Ι΄ τοῦ Ὄρθρου

Ἡ ἱκεσία τῆς Ἐκκλησίας
πού ἀποτελεῖ τήν καρδιά τοῦ Ὄρθρου
κορυφώνεται στήν παρακάτω προσευχή
μετανοίας καί ἐξομολογήσεως

*Κύριε, ὁ Θεός ἡμῶν,*
***ὁ τήν διά μετανοίας ἄφεσιν***
***τοῖς ἀνθρώποις δωρησάμενος***
***καί τύπον ἡμῖν ἐπιγνώσεως***
***ἁμαρτημάτων καί ἐξομολογήσεως***
*τήν τοῦ προφήτου Δαβίδ μετάνοιαν*
*πρός συγχώρησιν ὑποδείξας,*
*αὐτός, Δέσποτα,*
*πολλοῖς ἡμᾶς καί μεγάλοις*
*περιπεπτωκότας πλημμελήμασιν,*
*ἐλέησον κατά τό μέγα σου ἔλεος·*
*καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου*
*ἐξάλειψον τά ἀνομήματα ἡμῶν·*
***ὅτι σοί ἡμάρτομεν, Κύριε,***
***τῷ καί τά ἄδηλα καί τά κρύφια***
***τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι***
*καί μόνῳ ἔχοντι ἐξουσίαν*
*ἀφιέναι ἁμαρτίας.*
*Καρδίαν δέ καθαράν κτίσας ἐν ἡμῖν*
*καί πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς*
*καί τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου*
*γνωρίσας ἡμῖν,*
*μή ἀπορρίψῃς ἡμᾶς ἀπό τοῦ προσώπου Σου·*

*ἀλλ᾽ εὐδόκησον,*
*ὡς ἀγαθός καί φιλάνθρωπος,*
*μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς*
*προσφέρειν σοι θυσίαν δικαιοσύνης*
*καί ἀναφοράν*
*ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις.*

*Ἐλέει καί οἰκτιρμοῖς καί φιλανθρωπίᾳ*
*τοῦ μονογενοῦς σου Υἱοῦ,*
*μεθ᾽ οὗ εὐλογητός εἶ,*
*σύν τῷ παναγίῳ καί ἀγαθῷ*
*καί ζωοποιῷ σου Πνεύματι,*
*νῦν καί ἀεί*
*καί εἰς τούς αἰῶνας τῶν αἰώνων.*

**Ἀμήν.**

## Κανόνες

Κανών πρῶτος. Ποίημα Κοσμᾶ μοναχοῦ.

**Ἦχος βαρύς.**

**Ὠδή α΄. Ὁ εἱρμός.**

Πόντῳ ἐκάλυψε Φαραώ σύν ἅρμασιν,
ὁ συντρίβων πολέμους
ἐν ὑψηλῷ βραχίονι·
ἄσωμεν Αὐτῷ, ὅτι δεδόξασται.

Τροπάρια.

Ἔργῳ, ὡς πάλαι
τοῖς μαθηταῖς ἐπηγγείλω

τό Παράκλητον Πνεῦμα,
ἐξαποστείλας Χριστέ,
ἔλαμψας τῷ κόσμῳ
φῶς, Φιλάνθρωπε.

Νόμῳ τό πάλαι
προκηρυχθέν καί προφήταις
ἐπληρώθη· τοῦ θείου
Πνεύματος σήμερον
πᾶσι γάρ πιστοῖς χάρις ἐκκέχυται.

Ἕτερος κανών ἰαμβικός.
Ποίημα Ἰωάννου τοῦ Ἀρκλᾶ.

**Ἦχος δ**

**Ὠδή α΄. Ὁ εἱρμός.**

Θείῳ καλυφθείς ὁ βραδύγλωσσος γνόφῳ
ἐρρητόρευσε τόν θεόγραφον νόμον·
ἰλύν γάρ ἐκτινάξας ὄμματος νόου,
ὁρᾷ τόν Ὄντα
καί μυεῖται Πνεύματος γνῶσιν,
γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Τροπάρια.

Ἔφη τό σεπτόν καί σεβάσμιον στόμα·
νοσφισμός ὑμῖν οὐ γενήσεται φίλοις.
Ἐγώ γάρ εἰς πατρῷον ὕψιστον θρόνον
συνεδριάζων
ἐκχεῶ τοῦ Πνεύματος λάμψαι
ποθοῦσι τήν χάριν τήν ἄφθονον.

Ὅρος βεβηκώς ἀτρεκέστατος Λόγος

γαληνόμορφον ἐκτελεῖ τήν καρδίαν.
Ἔργον γάρ περάνας εὔφρανε φίλους
πνοῇ βιαίᾳ
καί πυρός γλωττήμασι νείμας
τό Πνεῦμα Χριστός, ὡς ὑπέσχετο.

Ἦχος βαρύς.
Ὠδή γ΄ Ὁ εἱρμός.

Τήν ἐξ ὕψους δύναμιν
τοῖς Μαθηταῖς, Χριστέ,
ἕως ἄν ἐνδύσησθε ἔφης,
καθίσατε ἐν Ἱερουσαλήμ·
Ἐγώ δέ ὡς Ἐμέ
Παράκλητον ἄλλον,
Πνεῦμα τό Ἐμόν τε
καί Πατρός ἀποστελῶ,
ἐν ᾯ στερεωθήσεσθε.

Τροπάριον.

Ἡ τοῦ Θείου Πνεύματος
ἐπιδημήσασα δύναμις
τήν μερισθεῖσαν πάλαι φωνήν
κακῶς ὁμονοησάντων
εἰς μίαν ἁρμονίαν
θείως συνῆψε γνῶσιν
συνετίζουσα πιστούς
τῆς Τριάδος
ἐν ᾗ ἐστερεώθημεν.

## Ἦχος δ
## Εἱρμός ἄλλος.

Ἔρρηξε γαστρός ἠτεκνωμένης πέδας,
ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης
μόνη προσευχή τῆς προφήτιδος πάλαι
Ἄννης φερούσης πνεῦμα συντετριμμένον,
πρός τόν δυνάστην
καί Θεόν τῶν γνώσεων.

### Τροπάρια.

Ἄληπτός ἐστιν ἡ Θεαρχικωτάτη
ρήτρας γάρ ἐξέφηνε τούς ἀγραμμάτους
ἄλις σοφιστάς συστομίζοντας λόγῳ
καί τῆς βαθείας νυκτός ἐξαιρουμένους
λαούς ἀπείρους ἀστραπῇ τοῦ Πνεύματος.

Ἦν ἐκπορευτόν ἐξ ἀγεννήτου Φάους
τό πανσθενουργόφωτον, ἄφθιτον Σέλας
Οὗ τήν δι᾽ Υἱοῦ πατρικῆς ἐξ Οὐσίας
νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν
πυρῶδες ἦχος ἐν Σιών τοῖς ἔθνεσιν.

## Κάθισμα
### Ἦχος πλ. δ΄. Τό προσταχθέν.

Οἱ τοῦ Σωτῆρος ἐρασταί
χαρᾶς ἐπλήσθησαν
καί θάρσος ἔλαβον οἱ πρῴην δειλιῶντες,
ὡς τό Πνεῦμα τό Ἅγιον
σήμερον ἐξ ὕψους
κατῆλθεν ἐπί τόν οἶκον τῶν Μαθητῶν
καί ἄλλος ἄλλα ἐλάλει πρός τούς λαούς·

γλῶσσαι γάρ διεσπάρησαν
ὁρώμεναι ὡσεί πυρός
καί τούτους οὐ κατέφλεξαν,
ἀλλά μᾶλλον ἐδρόσισαν.

Δόξα. Καί νῦν. Τό αὐτό.

**Κοντάκιον. Ἦχος πλ. δ΄.**

Ὅτε καταβάς τάς γλώσσας συνέχεε,
διεμέριζεν ἔθνη ὁ Ὕψιστος!
Ὅτε τοῦ πυρός τάς γλώσσας διένειμεν
εἰς ἑνότητα πάντας ἐκάλεσε!
**Καί συμφώνως δοξάζομεν**
**τό Πανάγιον Πνεῦμα.**

Ὅλοι μαζί ἐπαναλαμβάνομε:

**καί συμφώνως δοξάζομεν**
**τό Πανάγιον Πνεῦμα.**

**Οἶκος.**

Ταχεῖαν καί σταθηράν
δίδου παραμυθίαν
τοῖς δούλοις Σου, Ἰησοῦ,
ἐν τῷ ἀκηδιᾶσαι τά πνεύματα ἡμῶν·
μή χωρίζου τῶν ψυχῶν ἡμῶν
ἐν θλίψεσι,
μή μακρύνου τῶν φρενῶν ἡμῶν
ἐν περιστάσεσιν,
ἀλλά ἀεί ἡμᾶς πρόφθασον.
Ἔγγισον ἡμῖν! Ἔγγισον, ὁ πανταχοῦ!
Ὥσπερ καί τοῖς Ἀποστόλοις Σου
πάντοτε συνῆς,

οὕτω καί τοῖς Σέ ποθοῦσιν
ἕνωσον Σαυτόν, Οἰκτίρμον,
ἵνα συνημμένοι Σοι
ὑμνῶμεν καί δοξολογῶμεν
τό Πανάγιόν Σου Πνεῦμα.

Ὅλοι μαζί ἐπαναλαμβάνομε:

**ἵνα συνημμένοι Σοι**
**ὑμνῶμεν καί δοξολογῶμεν**
**τό Πανάγιόν Σου Πνεῦμα.**

**Συναξάριον** ἀπό τό Μηναῖο καί τό παρόν

Τῇ ὀγδόῃ Κυριακῇ ἀπό τοῦ Πάσχα,
τήν ἁγίαν Πεντηκοστήν ἑορτάζομεν.

*Πνοῇ βιαίᾳ γλωσσοπυρσεύτως νέμει Χριστός*
*τό Θεῖον Πνεῦμα τοῖς Ἀποστόλοις.*
*Ἐκκέχυται μεγάλῳ ἐνί ἤματι*
*Πνεῦμ᾽ ἁλιεῦσι.*

Ταῖς τῶν ἁγίων Ἀποστόλων πρεσβείαις,
Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * * * * * * * * * * * * * * * * * * * * * * *

## Τῇ Δευτέρα τοῦ Ἁγίου Πνεύματος

**Τό Συναξάριον** ἀπό τό Μηναῖο καί τό παρόν

Τῇ αὐτῇ ἡμέρα,
Δευτέρα τῆς Πεντηκοστῆς,
αὐτό τό Πανάγιον

καί ζωοποιόν καί παντοδύναμον
ἑορτάζομεν Πνεῦμα,
τόν Ἕνα τῆς Τριάδος Θεόν,
τό ὁμότιμον καί ὁμοούσιον
καί ὁμόδοξον τῷ Πατρί καί τῷ Υἱῷ.

*Πᾶσα πνοή, δόξαζε Πνεῦμα Κυρίου,*
*δι᾽ οὗ πονηρῶν πνευμάτων φροῦδα θράση.*

**Τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος**
**πρεσβείαις τῶν Ἀποστόλων Σου,**
**Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.**

* * * * * * * * * * * * * * * * * * * * * * * ** * *

## Καταβασίαι διπλαῖ.
## (Τή Δευτέρα
## ψάλλονται μόνο οἱ ἰαμβικές.)

### Ὠδή α΄. Ἦχος βαρύς.

Πόντῳ ἐκάλυψε Φαραώ σύν ἅρμασιν,
ὁ συντρίβων πολέμους
ἐν ὑψηλῷ βραχίονι·
ᾄσωμεν Αὐτῷ, ὅτι δεδόξασται.

### Ἑτέρα ἰαμβική. Ἦχος δ΄.

**Θείῳ καλυφθείς**
**ὁ βραδύγλωσσος γνόφῳ**
**ἐρρητόρευσε τόν θεόγραφον νόμον·**
**ἰλύν γάρ ἐκτινάξας ὄμματος νόου,**

**ὁρᾷ τόν Ὄντα**
**καί μυεῖται Πνεύματος γνῶσιν,**
**γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.**

### Ὠδή γ΄. Ἦχος βαρύς.

Τήν ἐξ ὕψους δύναμιν
τοῖς Μαθηταῖς, Χριστέ,
ἕως ἄν ἐνδύσησθε ἔφης,
καθίσατε ἐν Ἱερουσαλήμ·
Ἐγώ δέ ὡς Ἐμέ
Παράκλητον Ἄλλον,
Πνεῦμα τό Ἐμόν τε
καί Πατρός ἀποστελῶ,
ἐν ᾧ στερεωθήσεσθε.

### Ἰαμβική. Ἦχος δ΄.

**Ἔρρηξε γαστρός ἠτεκνωμένης πέδας,**
**ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης**
**μόνη προσευχή τῆς προφήτιδος πάλαι**
**Ἄννης φερούσης πνεῦμα συντετριμμένον,**
**πρός τόν δυνάστην**
**καί Θεόν τῶν γνώσεων.**

### Ὠδή δ΄. Ἦχος βαρύς.

Κατανοῶν ὁ Προφήτης
τήν ἐπ᾽ ἐσχάτων Σου, Χριστέ,
ἔλευσιν ἀνεβόα·
τήν Σήν εἰσακήκοα,
Κύριε, δυναστείαν,
ὅτι πάντας τοῦ σῶσαι
τούς χριστούς Σου ἐλήλυθας.

### Ἰαμβική. Ἦχος δ΄.

**Ἄναξ ἀνάκτων, Οἷος ἐξ Οἵου, Μόνος**
**Λόγος προελθών Πατρός ἐξ ἀναιτίου,**
**ἰσοσθενές Σου Πνεῦμα τοῖς Ἀποστόλοις**
**νημερτές ἐξέπεμψας ὡς εὐεργέτης**
**ᾄδουσι· δόξα τῷ κράτει Σου, Κύριε.**

### Ὠδή ε΄. Ἦχος βαρύς.

Τό διά τόν φόβον Σου ληφθέν, Κύριε,
ἐν γαστρί τῶν Προφητῶν
καί κυηθέν ἐπί τῆς γῆς
Πνεῦμα σωτηρίας
ἀποστολικάς καρδίας κτίζει καθαράς
καί ἐν τοῖς πιστοῖς εὐθές ἐγκαινίζεται!
Φῶς γάρ καί εἰρήνη
διότι τά Σά προστάγματα!

### Ἰαμβική. Ἦχος δ΄.

**Λυτήριον κάθαρσιν ἀμπλακημάτων**
**πυρίπνοον δέξασθε Πνεύματος δρόσον,**
**ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας·**
**νῦν ἐκ Σιών γάρ ἐξελήλυθε νόμος**
**ἡ γλωσσοπυρσόμορφος**
**Πνεύματος χάρις.**

### Ὠδή στ΄. Ἦχος βαρύς.

Ναυτιῶν τῷ σάλῳ,
τῶν βιοτικῶν μελημάτων,
συμπλόοις ποντούμενος ἁμαρτίαις
καί ψυχοφθόρῳ θηρί προσριπτούμενος,
ὡς ὁ Ἰωνᾶς, Χριστέ, βοῶ Σοι·

ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἰαμβική. Ἦχος δ΄.

**Ἱλασμός ἡμῖν, Χριστέ, καί σωτηρία
ὁ Δεσπότης ἔλλαμψας ἐκ τῆς Παρθένου,
ἵν᾽ ὡς προφήτην θηρός ἐκ θαλατίου
στέρνων Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσῃς
ὅλον τόν Ἀδάμ παγγενῆ πεπτωκότα.**

Ὠδή ζ΄. Ἦχος βαρύς.

Οἱ ἐν καμίνῳ τοῦ πυρός
ἐμβληθέντες ὅσιοι Παῖδες
**τό πῦρ εἰς δρόσον μετέβαλον
διά τῆς ὑμνωδίας** οὕτω βοῶντες·
εὐλογητός εἶ, Κύριε,
ὁ Θεός τῶν Πατέρων ἡμῶν.

Ἰαμβική. Ἦχος δ΄.

**Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος
σέβειν τό χρυσότευκτον ἄψυχον βρέτας,
ἡ τοῦ Παρακλήτου δέ φωσφόρος χάρις
σεβασμιάζει τοῦ βοᾶν· Τριάς μόνη,
ἰσοσθενής, ἄναρχος, εὐλογητός εἶ.**

Αἰνοῦμεν, εὐλογοῦμεν
καί προσκυνοῦμεν τόν Κύριον.

Ὠδή η΄. Ἦχος βαρύς.

Ἄφλεκτος πυρί, ἐν Σινᾷ προσομιλοῦσα,
βάτος Θεόν ἐγνώρισε
τῷ βραδυγλώσσῳ καί δυσήχῳ Μωσεῖ·
καί Παίδας ζῆλος Θεοῦ τρεῖς

ἀναλώτους τῷ πυρί ὑμνωδούς ἔδειξε!
Πάντα τά ἔργα τόν Κύριον ὑμνεῖτε
καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

Ἰαμβική. Ἦχος δ΄.

**Λύει τά δεσμά καί δροσίζει τήν φλόγα
ὁ τρισσοφεγγής τῆς Θεαρχίας τύπος·
ὑμνοῦσι Παῖδες, εὐλογεῖ δέ τόν Μόνον
Σωτῆρα καί Παντουργόν ὡς εὐεργέτην
ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.**

*Τήν Θεοτόκον καί Μητέρα τοῦ Φωτός
ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.*

Ὠδή θ΄. Ἦχος βαρύς.

Μή τῆς φθορᾶς διαπείρα κυοφορήσασα
καί παντεχνήμονι Λόγῳ σάρκα δανείσασα
Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε,
δοχεῖον τοῦ Ἀστέκτου, χωρίον τοῦ ἀπείρου
Πλαστουργοῦ σου, Σέ μεγαλύνομεν.

Τροπάρια.

Ἐπιπαφλάζοντος πάλαι πυρίνου ἅρματος,
ὁ ζηλωτής καί πυρίπνους χαίρων ὀχούμενος
τήν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου
ἐξ ὕψους Ἀποστόλοις, ὑφ’ ἧςκαταλαμφθέντες
τήν Τριάδα πᾶσιν ἐγνώρισαν.

Νόμου τῶν φύσεων δίχα ξένον ἠκούετο·
τῶν Μαθητῶν τῆς μιᾶς γάρ
φωνῆς ἀπηχουμένης

Πνεύματος χάριτι, ποικίλως ἐνηχοῦντο
λαοί, φυλαί καί γλῶσσαι
τά θεῖα μεγαλεῖα
τῆς Τριάδος γνῶσιν μυούμενοι.

### Ἰαμβική. Εἱρμός ἄλλος.

**Χαίροις, Ἄνασσα, μητροπάρθενον κλέος!
ἅπαν γάρ εὐδίνητον εὔλαλον στόμα
ρητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δέ νοῦς ἅπας σοῦ τόν τόκον νοεῖν,
ὅθεν σε συμφώνως δοξάζομεν.**

Τροπάρια.

**Ὕδειν ἔοικε τήν φυσίζωον κόρην!
Μόνη γάρ ἐν δίνησι κεκρύφει Λόγον
νοσοῦσαν ἀλθένοντα τήν βροτῶν φύσιν.
Ὅς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος
Πατρός πέπομφε
τήν Χάριν τοῦ Πνεύματος.**

**Ὅσοις ἔπνευσεν ἡ θεόῤῥυτος Χάρις
λάμποντες, ἀστράπτοντες, ἠλλοιωμένοι
ὀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην,
ἰσοσθενοῦσαν τήν Ἄτμητον εἰδότες,
σοφήν, τρίφεγγον Οὐσίαν δοξάζομεν.**

Βλ. Λόσκυ

### Καταβασίαι.

Μή τῆς φθορᾶς διαπείρα κυοφορήσασα
καί παντεχνήμονι Λόγῳ
σάρκα δανείσασα.
Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε,

δοχεῖον τοῦ Ἀστέκτου,
χωρίον τοῦ ἀπείρου
Πλαστουργοῦ σου, Σέ μεγαλύνομεν.

**Χαίροις, Ἄνασσα, μητροπάρθενον κλέος!
ἅπαν γάρ εὐδίνητον εὔλαλον στόμα
ρητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δέ νοῦς ἅπας σοῦ τόν τόκον νοεῖν,
ὅθεν σε συμφώνως δοξάζομεν.**

* * * * * * * * * * * * * * * * * * * * * * *

**Τή Δευτέρα**

**Στήν Θ' ᾠδή: ψάλλομε τήν Θ΄ ᾠδή
καί τῶν δύο κανόνων Πεντηκοστῆς.**

**Καί Καταβασία**

**«Χαίροις, Ἄνασσα,
μητροπάρθενον κλέος.»**

* * * * * * * * * * * * * * * * * * * * * * * * *

***Μικρά Συναπτή-Εὐχή***

**Ἐξαποστειλάρια.**

**Ἦχος γ΄. Ὁ οὐρανόν τοῖς ἄστροις.**

Τό Πανάγιον Πνεῦμα,
τό προϊόν ἐκ τοῦ Πατρός
καί δι᾽ Υἱοῦ ἐνδημῆσαν
τοῖς ἀγραμμάτοις Μαθηταῖς,
τούς Σέ Θεόν ἐπιγνόντας,
σῶσον, ἁγίασον πάντας.

Ἕτερον. Ἦχος ὁ αὐτός.

Φῶς ὁ Πατήρ, φῶς ὁ Λόγος,
φῶς καί τό ἅγιον Πνεῦμα,
ὅπερ ἐν γλώσσαις πυρίναις
τοῖς Ἀποστόλοις ἐπέμφθη·
καί δι᾽ Αὐτοῦ πᾶς ὁ κόσμος
φωταγωγεῖται
Τριάδα σέβειν Ἁγίαν.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

* * * * * * * * * * * * * * * * * * * * * *

Τή Δευτέρα εἰς τούς Αἴνους ψάλλομε, ἀπό τόν Ἑσπερινό τῆς Πεντηκοστῆς, τά τρία στιχηρά 7,8,9 σέ τέσσερα καί Δοξαστικό τό Δόξα τῶν Ἀποστίχων «Γλῶσσαι ποτέ συνεχύθησαν. . .»

* * * * * * * * * * * * * * * * * * * * * *

**Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον.
Αἰνεῖτε τόν Κύριον ἐκ τῶν οὐρανῶν,
αἰνεῖτε Αὐτόν ἐν τοῖς ὑψίστοις.
Σοί πρέπει ὕμνος τῷ Θεῷ.**

**Αἰνεῖτε Αὐτόν,
πάντες οἱ ἄγγελοι Αὐτοῦ·
αἰνεῖτε Αὐτόν,
πᾶσαι αἱ δυνάμεις Αὐτοῦ.
Σοί πρέπει ὕμνος τῷ Θεῷ.**

## Κοσμᾶ μοναχοῦ. Ἦχος δ΄.

1.

*Αἰνεῖτε Αὐτόν ἐπί ταῖς δυναστείαις Αὐτοῦ,*
*αἰνεῖτε Αὐτόν*
*κατά τό πλῆθος τῆς μεγαλωσύνης Αὐτοῦ.*

### Τό ἱστορικό γεγονός

Παράδοξα σήμερον,
εἶδον τά ἔθνη πάντα ἐν πόλει Δαυΐδ,
ὅτε τό Πνεῦμα κατῆλθε τό Ἅγιον
ἐν πυρίναις γλώσσαις,
καθώς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο.
Φησί γάρ· συνηγμένων
τῶν Μαθητῶν τοῦ Χριστοῦ
ἐγένετο ἦχος,
καθάπερ φερομένης βιαίας πνοῆς
καί ἐπλήρωσε τόν οἶκον,
οὗ ἦσαν καθήμενοι·
καί πάντες ἤρξαντο φθέγγεσθαι
ξένοις ῥήμασι, ξένοις δόγμασι,
ξένοις διδάγμασι, τῆς Ἁγίας Τριάδος.

2.

*Αἰνεῖτε Αὐτόν ἐν ἤχῳ σάλπιγγος,* 3
*αἰνεῖτε Αὐτόν ἐν ψαλτηρίῳ καί κιθάρᾳ.*

Παράδοξα σήμερον ...

3.

*Αἰνεῖτε Αὐτόν ἐν τυμπάνῳ καί χορῷ,* 4
*αἰνεῖτε Αὐτόν ἐν χορδαῖς καί ὀργάνῳ.*

### Θεολογία! Τί εἶναι τό Ἅγιο Πνεῦμα.

Τό Πνεῦμα τό Ἅγιον, ἦν μέν ἀεί,
καί ἔστι καί ἔσται
οὔτε ἀρξάμενον, οὔτε παυσόμενον,
ἀλλ᾽ ἀεί Πατρί καί Υἱῷ
συντεταγμένον καί συναριθμούμενον·
Ζωή καί ζωοποιοῦν·
Φῶς καί φωτός χορηγόν·
Αὐτάγαθον καί πηγή ἀγαθότητος,
δι᾽ Οὗ Πατήρ γνωρίζεται
καί Υἱός δοξάζεται
καί παρά πάντων γιγνώσκεται
μία δύναμις, μία σύνταξις,
μία προσκύνησις, τῆς Ἁγίας Τριάδος.

4.

*Αἰνεῖτε Αὐτόν ἐν κυμβάλοις εὐήχοις,*
*αἰνεῖτε Αὐτόν ἐν κυμβάλοις ἀλαλαγμοῦ.*
*Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον.*

Τό Πνεῦμα τό Ἅγιον, φῶς καί ζωή
καί ζῶσα πηγή νοερά.
Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως·
ἀγαθόν, εὐθές, νοερόν,
ἡγεμονεῦον, καθαῖρον τά πταίσματα.
Θεός καί θεοποιοῦν·
Πῦρ, ἐκ Πυρός προϊόν,
λαλοῦν, ἐνεργοῦν,
διαιροῦν τά χαρίσματα.

Δι᾿ Οὗ Προφῆται ἅπαντες
καί Θεοῦ Ἀπόστολοι
μετά Μαρτύρων ἐστέφθησαν.
Ξένον ἄκουσμα! Ξένον θέαμα!
πῦρ διαιρούμενον εἰς νομάς χαρισμάτων!

(Τόν τελευταῖο στίχο παίρνει ὁ ἀριστερός χορός)

**Δόξα. Καί νῦν. Ἦχος πλ. β'.**

Ἡ προσωπική «ἐπίκληση».
Ἔλα, Παράκλητε,
νά κατοικήσης μέσα μας,
νά μᾶς ἁγιάσης καί νά μᾶς σώσης!

Βασιλεῦ οὐράνιε, **Παράκλητε,**
**τό Πνεῦμα τῆς ἀληθείας,**
ὁ πανταχοῦ παρών
καί τά **πάντα πληρῶν,**
ὁ θησαυρός τῶν ἀγαθῶν
καί **ζωῆς χορηγός,**
ἐλθέ καί σκήνωσον ἐν ἡμῖν
καί καθάρισον ἡμᾶς
ἀπό πάσης κηλῖδος
καί σῶσον, Ἀγαθέ,
τάς ψυχάς ἡμῶν.

***Δοξολογία μεγάλη.***

**Ἀπολυτίκιον**. Ἦχος πλ. δ'.

Εὐλογητός εἶ, Χριστέ, ὁ Θεός ἡμῶν,
ὁ πανσόφους τούς ἁλιεῖς ἀναδείξας

καταπέμψας αὐτοῖς τό Πνεῦμα τό Ἅγιον
καί δι᾽ αὐτῶν
τήν οἰκουμένην σαγηνεύσας,
Φιλάνθρωπε, δόξα Σοι.